15. *τε* post *περὶ* addidi coll. § 34 (*μην. καὶ π. τ. μυστ., σ. ὤν, τοὺς ἄλλ.* Li.). — *ἄδ. εὑρ.* del. Li., cf. praef. p. XIII. — *ΟΝΟΜΑΤΑ* in mg. add. A. — C. I. A. I, 277: *Κηφισοδώρου μετοίκου ἐμ Πειρα[ιεῖ]*. — *Φιλοκράτη* Schi.: *Φιλοκράτην*. — *Τείσαρχον* scripsi: *Τίσαρχον*. — *ὅτι* om. pr. — *προσωμολόγηται* cum Mureto et R. Turr. Scilicet a Diogneto tacente; *μέμνησθε* imperativus est.

16. *Ἀλκμεωνίδου* scripsi: *Ἀλκμαιονίδου*. — *Ὀλυμπιεῖον* ci. R. S. (praef.): *Ὀλύμπιον*. — *ἀδίμαντον* (corr. Ald.). — in titulorum fragmentis (v. ad § 13) haec sunt: *Ἀξιόχου τοῦ Ἀλκιβιάδου Σκαμβωνίδου, Ἀδειμάντου τοῦ Λευκολοφίδου*

καὶ Ἀξίοχον καὶ Ἀδείμαντον· καὶ ἔφυγον οὗτοι
πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει.

Ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους 17
τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίγνεσθαι ἐν τῇ
οἰκίᾳ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν
Θημακῷ· καὶ ἀπογράφει τούς τε ἄλλους, καὶ τὸν
πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μέν, καθεύδειν δὲ
ἐγκεκαλυμμένον. Σπεύσιππος δὲ βουλεύων παρα-
δίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ. κἄπειτα ὁ πατὴρ
καταστήσας ἐγγυητὰς ἐγράψατο τὸν Σπεύσιππον
παρανόμων, καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθη-
ναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων οὐδὲ δια-
κοσίας ψήφους ὁ Σπεύσιππος. ὁ δὲ πείσας καὶ
δεόμενος μεῖναι τὸν πατέρα ἐγω ἦν μάλιστα, εἶτα
δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. Καί μοι κάλει Καλλίαν 18
καὶ Στέφανον.

(ΜΑΡΤΥΡΕΣ.)

Κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλέξιππον· οὗτοι γάρ εἰσιν Ἀκουμενοῦ καὶ Αὐτοκράτορος συγγενεῖς, οἳ ἔφυγον ἐπὶ τῇ Λυδοῦ μηνύσει· τοῦ μὲν ἀδελφιδοῦς ἐστιν Αὐτοκράτωρ, τοῦ δὲ θεῖος Ἀκουμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα ἐκείνους,

Σκαμβωνί[δου] (274. 275. 276. 277ᵃ. 277ᵇ). — ἔφυγον scripsi coll. §§ 26. 35. 55. 67. 68: ἔφευγον.

17. μία] τετάρτη Kaibel. — Phereclis nomen est in tabulis poletarum (277ᵃ), etsi eundem esse certum non est, cf. Dittenb. ad nr. 42. — Θημακέως] cf. Harp. s. v. — θη.ακ.ῶ pr. — ἀπογράφει: ει a corr. — βουλεύων] βασιλεύων Sl. Bk. Schi.; sed recte adversatur Bgk. ep. ad. Schill. p. 113 (Turr.). — ἑνὶ καὶ δισχιλίοις? RSchöll. — ὁ δὲ πείσας ὑπομεῖναι τ. π. Hi.

18. post Στέφ. add. ΜΑΡΤΥΡΕΣ Radermacher. — ἀκουμένου et ἀκούμενος. — οἳ ἔφυγον et δι' ὅντινα ἔφυγον scripsi: erat ἔφευγον. cf. ad § 16. —

εἰδέναι δὲ μάλιστα δι' ὅντινα ἔφυγον. Βλέπετε εἰς τούτους, καὶ μαρτυρεῖτε εἰ ἀληθῆ λέγω.

ΜΑΡΤΥΡΕΣ.

19 Τὰ μὲν γενόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. οὕτω γὰρ καὶ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνῄσκοντα τοὺς τῶν κατηγόρων λόγους ἐξελέγχειν. ἔλεξαν γὰρ ὡς ἐγὼ μηνύσαιμι περὶ τῶν μυστηρίων, ἀπογράψαιμί τε τὸν πατέρα τὸν ἐμαυτοῦ παρόντα, καὶ γενοίμην μηνυτὴς κατὰ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ, λόγον οἶμαι πάντων δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. ὁ μὲν γὰρ ἀπογράψας αὐτὸν Λυδὸς ἦν ὁ Φερεκλέους, ὁ δὲ πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα ἐγώ, πολλὰ ἱκετεύσας καὶ λαμβανόμενος τῶν γονάτων.
20 καίτοι τί ἐβουλόμην, εἰ ἐμήνυσα μὲν κατὰ τοῦ πα-
4 τρός, ὡς οὗτοί φασιν, ἱκέτευον δὲ τὸν | πατέρα μείναντά τι παθεῖν ὑπ' ἐμοῦ;-καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν; ἢ γὰρ ἐμοῦ

μαρτυρεῖτ. pr. — *ΜΑΡΤΥΡΕΣ* om. (in lacuna exigua punctum rubrum habet).

19. *γενόμενα* Sl. Bk.: *γινόμενα.* — *ἡμῖν* (corr. apogr.). — *οὕτω* cum R. Bk. Turr.: *οὐ*, quod cum Foertschio retinet Schi., interrogationis signo post *ἐξελ.* posito. — *ἀναμιμνῄσκοντα* cum R. Turr.: *ἀναμιμνῄσκοντας*, quod cum Foertsch. retinet Schi. — *παρόντα* del. Hi. — *τε* post *ἀνοσιώτ.* om. pr. cf. C. Fuhrium Mus. Rhen. XXXIII, 578 sq.

20. *δυεῖν*, superscript. *οι* ead. m. — *ἁμαρτεῖν*] „nonne addendum *θατέρου?*“ post R. Bk. cf. autem Schi. ad Sl. et Turr. — *ἢ γὰρ*] *ἢ* a corr.; *γὰρ* del. Kal. —

δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ
ἀποθανεῖν, ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι. ὁ γὰρ
νόμος οὕτως εἶχεν· εἰ μὲν τἀληθῆ μηνύσειέ τις,
εἶναι τὴν ἄδειαν, εἰ δὲ τὰ ψεύδη, τεθνάναι. καὶ μὲν
δὴ τοῦτό γε ἐπίστασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ
καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ
μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρός, ἀλλ' ἢ ἐμὲ ἢ
ἐκεῖνον ἔδει ἀποθανεῖν. φέρε δὴ τοίνυν, εἰ καὶ ὁ 21
πατὴρ ἐβούλετο ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε
ἢ ἐπιτρέπειν αὐτῷ μένειν ἢ ἐγγυήσασθαι, ἀλλ' οὐκ
ἂν παραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι ὅπου [ἂν]
ἔμελλεν αὐτὸς σωθήσεσθαι ἐμέ τε οὐκ ἀπολεῖν; ἀλλὰ 22
γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν
παρανόμων, αὐτὰ ταῦτα ἔλεγεν, ὡς οὐδεπώποτε
ἔλθοι εἰς Θημακὸν ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι
τὰ ἀνδράποδα, καὶ μὴ τοὺς μὲν παραδιδόντας μὴ
ἐθέλειν ἐλέγχειν, τοὺς δὲ μὴ θέλοντας ἀναγκάζειν.
ταῦτα δὲ λέγοντος τοῦ πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες
ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ
οἵδε λέγουσιν, ἄλλ' ἢ „Ὦ Λεωγόρα, τί βούλει περὶ
θεραπόντων λέγειν; οὐχ ὁ υἱὸς οὑτοσὶ μεμήνυκε
κατὰ σοῦ, καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε
σὺ τὸν πατέρα, ἢ οὐκ ἔστι σοι ἄδεια.“ ταυτὶ ἔλεγεν
ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες, ἢ οὔ; ἐγὼ μὲν οἶμαι.

τὰ ψεύδη] τὰ om pr.

21. ἂν post ὅπου del. Dobr. Bait. — ἔμελεν ut videtur pr.; αὐτὸς om. pr. nonne αὐτός τε?

22. τῶν ante παραν. del. Valck.; sed vide Mus. Rh. XLIV, 22. — οὐδέποτε pr. — ἔλθῃ (corr. apogr.). — καὶ μὴ τοὺς μὲν] κ . . . . pr. — 'θέλοντας Bait. Turr. — Λεωγόρα Bk.: λεω$^{γρ'}$ A, unde λέω cum lac. B. — μεμύνηκε (υ a corr.). — ἔσται σοι ἄδ. RSchöll; sed cf. εἶναι 20.

23 εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ
ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ἐμή ἐστιν ἢ ἀπογραφή,
μὴ ὅτι ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς
κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀνα-
βάς. ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον
οὐδένας πώποτ' ἐγὼ εἰπόντας οἶδα, οἳ τοῦτο μόνον
ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δ' ἐλεγχθή-
24 σονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. ὥσπερ
οὖν, εἰ ἀληθῆ ἦν ταῦτα ἅ μου κατηγόρησαν, ἐμοὶ
ἂν ὠργίζεσθε καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτι-
θέναι, οὕτως ἀξιῶ ὑμᾶς, γιγνώσκοντας ὅτι ψεύδονται,
πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ
ὅτι εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς
ἐλέγχονται ψευδόμενοι, ἦ που τά γε πολλῷ φαυλό-
τερα ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.
25 Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται
ἐγένοντο τέτταρες· οἳ δὲ ἔφυγον καθ' ἑκάστην μή-
νυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ
μάρτυρες μεμαρτυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ
πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω.
τῶν γὰρ φυγόντων ἐπὶ τοῖς μυστηρίοις οἱ μέν τινες
ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καὶ εἰσὶν ἐνθάδε

23. ἢ ἀπογρ. c. R. Bk.: ἡ ἀπ. — ἀνοσιώτερον καὶ ἀπιστότερον cum R. Bk.: ἀνοσιώτατον καὶ ἀπιστότατον. — οὐδένα, tum εἰπόντ superscr. ας, etiam ς a m. pr. ut puto: εἰπόντα L. et post eum ego ed. II, οὐδένας (R.) . . . εἰπόντας Bk.

24. μου Dobr. Turr.: με. — τά γε Bk.: τάγα A (litt. γ fort. corr., sed ead. m.), τάγα B (v. edit. meam Antiph. p. VI[2]).

25. ἔφυγον et φυγόντων scripsi: ἔφευγον et φευγόντων. cf. ad § 16. — ἐπὶ τοῖς ci. R. (coll. § 35) Bk.: ἐν τοῖς. — ἥκουσιν A L.

καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ 26
ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐλέγξαι ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμὲ ἢ ἐμήνυσα κατά του, ἢ οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε. καὶ σιωπῶ, καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται.

Φέρε δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο, 27
ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων; ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαί, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι, περὶ δὲ τούτων ἠμφεσβήτουν οὗτοί τε οἱ μηνύσαντες καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδροκλῆς ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ 28
τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκούσαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι. καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι Ἀνδρόμαχος μὲν μυρίας δραχμάς, Τεῦκρος δὲ χιλίας. Καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

| Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα 29
ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι ὡς οὔτε ἠσέβηκα

26. ἐλέγξαι pr. A (corr. 2) Turr.: ἐξελέγξαι. — κατά του Sl.: κατ' αὐτοῦ. — post hanc § addendum dicit S. *ΔΙΑΝΑΠΑΥΣΙΣ* vel simile quid.; cf. Li. Schöll.
27. κατὰ μὲν τὸ Κλ. ψ.? — περὶ δὴ R. L. (def. δὲ FSchöll). — ἠμφεσβ. L.: ἠμφισβ.
28. μυήσεις pr.? μυνήσεις certe ead. m. — πα . . θηναίων (. . . . θηναίων sec. L.) pr. — *ΜΑΡΤΥΡΕΣ* in mg. add., it. 46.
29. ἕνεκα L. — μεμύηκα pr.? μεμύνηκα ead. m. —

οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι. καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων, (οἳ) ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν
30 ἔπαθε καὶ ἐτιμωρήθη — τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων (ταῦτα) κατηγορῶ, καὶ δι' αὐτὸ τοῦτό φημι δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σῴζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. ἦ δεινόν γ' ἂν εἴη, εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας ἡγήσαισθε. δῆλον γὰρ ὅτι τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ (ἡ) παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα τοὺς τῶν κατηγόρων λόγους καὶ
31 ὑμᾶς ἀναμιμνῄσκοντα τὰ γεγενημένα, οἵ τινες ὅρκους

οὐδὲ ἕν] οὐδέν A. — καὶ γὰρ οἱ λόγοι κτέ.] si addideris οἵ, nihil in his cum Andocide non convenire videtur, neque placere possunt aliorum tentamina (οἱ λ. τ. κατ. del. Usener; καὶ οἱ λ. τ. κ.— ταῦτα γὰρ τὰ post me Kal.). cf. L.— ἀνωρθίαζον] cf. Harp.: ἀνωρθ. ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγον Ἀνδοκίδης, et Suid. et B. A. I p. 412. Eurip. Andr. 1148 et Aesch. Ch. 271 confert Kö.

30. addidi ταῦτα (impietatem in deas). — ἡγήσαισθε cum R. Bk.: -εσθε. — δῆλον γὰρ ὅτι Kal.: δηλονότι γάρ. — addidi ἡ. — ὑμῶν post δεῖ transp. L. (δεῖ δε. ὑμ.? F. Schöll). cf. praef. p. XIV. — τῇ τοιαύτῃ A pr. ut vid. W.: τοιαύτῃ. cf. antea τὰ τοιαῦτα ἁμαρτήματα. — ἀναμιμνήσκοντα ci. R. Bait.: ἀναμιμνήσκω

μεγάλους ὀμόσαντες οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς ὑμῖν τε αὐτοῖς καὶ παισὶ τοῖς ὑμετέροις αὐτῶν, ἦ μὴν ψηφιεῖσθαι περὶ ἐμοῦ τὰ δίκαια, πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑοράκατε τοῖν θεοῖν τὰ ἱερά, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σῴζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τῶν 32 *μηδὲν ἠδικηκότων ἀσεβεῖν καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ τῆς ἑορτῆς ἕνεκα ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· εἰ δὲ οὐδὲν ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν* 33 *ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κηφίσιος οὑτοσί, οὐκ ἐξέσται αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν εἰσιέναι, ἢ ἀποθανεῖται. εἰ οὖν ὑμῖν*

31. *ἀράμενοι* ut videtur pr. — *ὑμετεροι* pr. — *ἑοράκατε* L.: *ἑωρ.*

32. *τῶν . . ἠδικηκότων* L. RSchöll: *τοὺς . . ἠδικηκότας.* cf. 49 al. (similiter peccatum est 105). — *ἐπισκήπτω*] cf. Harp. s. v. *ἐπεσκήψατο: τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδ. τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας — εἰρήκασιν.* — *ἕνεκα* scripsi: *ἕνεκεν.* — *μεμήνυκα* Bait., sicut est § 29; sed recte adversatur FSchöll; *ἐγώ* desiderat Hi.

33. *οὐδὲν*] cf. Kühner-Gerth Synt. I. 189. Tamen *μηδὲν* correxerim, cf. 77. 114. 2, 1. 3. 4. 24. 3, 40. — *αὐτὸ*] *αὖ τοῦτο* Emp., *αὐτὸ τοῦτο* RSchöll. — *Κηφίσιος* auct. Steph. Bk.: *Κηφήσιος.* — *ἐξέσται* scripsi: *ἔξεστιν.*

δοκῶ ἱκανῶς περὶ τούτων ἀπολελογῆσθαι, δηλώσατέ μοι, ἵνα προθυμότερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

34 *Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν, ἄδειαν εὑρόμενος μηνύει περί τε τῶν μυστηρίων καὶ τῶν περικοψάντων τὰ ἀναθήματα ἃ ᾔδει, καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον κατὰ τὴν Τεύκρου μήνυσιν. Καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.*

35 *ΟΝΟΜΑΤΑ. Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένη, Μενέστρατον, Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, Μέλητον, Τιμάνθη, Ἀρχίδαμον, Τελένικον.*

Τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καὶ εἰσὶν ἐνθάδε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐλεγξάτω ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν ἢ ὡς ἀπέθανεν.

36 *Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρι-*

34. *καὶ τῶν* Ald. Bk.: *ἐκ τῶν* (*καὶ ἐκ τῶν . . . ἀναθ. ἀπογρ.* Ros. L.). — *ἃ ᾔδει* transposui coll. § 15: erant post *μυστηρίων*. — *εἴκοσῑ* A (lineola fort. a corr.); fere legitime in hoc voc. *ν* omittitur, v. Gramm. des ntest. Griechisch p. 21[2] (sed *-σιν* traditur § 38).

35. *Ἀλκισθένη* et *Τιμάνθη* Schi.: *Ἀλκισθένην* et *Τιμάνθην*. — *Ἐρυξίμαχον* cum Steph. Bk.: *εὐρυξίμαχον* A. — *Εὐφίλητον*] cf. C. I. A. I, 274. 277[a] (v. ad § 13): *Εὐφιλήτου Τιμοθέου Κ[υ]δαθη[ναιῶς*. — *εὐρυμάδαντα* A (corr. apogr.), *Εὐρυμέδοντα* Li.

κλῆς, ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες | δ' ἐν 6
ἐκείνῳ τῷ χρόνῳ εὐνούστατοι εἶναι τῷ δήμῳ, ἔλεγον
ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν
ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἔτι
ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ πόλις οὕτως διέκειτο,
ὥστ' ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευτήριον ὁ κῆρυξ
ἀνείποι ἰέναι καὶ τὸ σημεῖον καθέλοι, τῷ αὐτῷ
σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ'
ἐκ τῆς ἀγορᾶς ἔφευγον, δεδιότες εἷς ἕκαστος μὴ
συλληφθείη. ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς 37
εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων
εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι
αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι
τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι
ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνῄσκεσθαι, ἐὰν
ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ
ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστε.
ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ Λαυρείῳ, δεῖν 38
δὲ κομίσασθαι ἀποφοράν. ἀναστὰς δὲ πρῴ ψευσθεὶς
τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ
παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν, ὁρᾶν ἀνθρώ-
πους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς
τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ

36. *ζητητῶν*] cf. Harp. *ζητητής· ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη — —· Δημοσθένης — — καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως.* — *ἐπιζητεῖν* A pr. Dobr. (ego ed. II, L.). — *οὕτως* A Turr.: *οὕτω.* — *ἀνείποι* Schoem. Dobr. Bk.: *ἀνείπῃ.* — *ἔφευγον* Bait.: *ἔφυγον.*

37. *Διοκλείδης* Ald.: *διὸ καὶ δις.* — *τὰς Ἑρμᾶς* pr.

38. *Λαυρείῳ* L.: *Λαυρίῳ.* — *πρῴ* Bk.: *πρωὶ* A. — *τὸ Διονύσου* ZM Bk. perperam (RSchöll); necessarius enim art. ante dei nomen. —

τὴν σκιὰν καθέζεσθαι μεταξὺ του κίονος καὶ τῆς
στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾶν
δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους,
ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς
δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην
39 τὰ πρόσωπα τῶν πλείστων γιγνώσκειν. καὶ πρῶτον
μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο, δεινότατον πρᾶγμα,
οἶμαι, ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων
φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅντινα δὲ μὴ
βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη
ἐπὶ Λαύρειον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ
Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι
40 τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἥκων δὲ εἰς ἄστυ
ζητητάς τε ἤδη ᾑρημένους καταλαμβάνειν καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον
τὸν Καλλίου τοῦ Τηλοκλέους ἀδελφὸν ἐν τῷ χαλκείῳ
καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον
λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ
τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως χρήματα
λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλους.
εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών,

σκιὰν] οἰκίαν pr. — του scripsi (it. L.) τοῦ. cf. 40. — ὁρᾶν δὲ κτέ.] cf. Galen. XVIII A p. 450 ed. Kühn: Ἀ. ἐν τῷ περὶ μυστηρίων· ἄδων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους. μὲν et μάλιστα, quae om. codd., e Galeno add. Sl. Bk. idem Sl. pro ὁρᾶν (ἄδων) ci. ἰδεῖν. — τῶν πλείστων] τὰ πλεῖστα pr. (Li.).

39. post ὑπέθ. interpunxit Marchant. — malim ἐπ' ἐκείνῳ; neque enim prorsus similia sunt quae L. comparat, ut Lys. 1, 34 (ἐν german. „bei", ἐπί etiam „im Belieben"). — Λαύρειον L.: λαυρίαν (Λαύριον Bk.). cf. 38.

40. Τηλοκλέους sec. inscr. (C. I. Att. II, 1232) Kirchner Herm. XXXI, 255: Τηλεκλέους. it. §§ 42, 47. — ἔν τῳ Valck. ἐν τῷ. — ἴδοι ὑμᾶς (corr. Ald.). —

καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου οἰκίαν, „ἵν' ἐκεῖ συγγένῃ μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ.“ ἥκειν ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν 41 *θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτῷ· „ἆρά γε σὲ οἵδε περιμένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους.“ εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι. καὶ τούτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. εἰπεῖν δὲ ἡμᾶς ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ βουλόμεθα, ἕνα αὐτὸν ἡμῶν εἶναι, πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς* 42 *πρὸς ταῦτα ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλοκλέους ἵνα κἀκεῖνος παρείη. τὸν δ' αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν. ἥκειν ἔφη εἰς Καλλίου, καὶ καθομολογήσας ἡμῖν πίστιν δοῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν ἐπιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.*

Ἡ μὲν εἰσαγγελία αὐτῷ, ὦ ἄνδρες, τοιαύτη· 43 *ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαν-*

καὶ συνήκειν Emp. L. — *κελεῦσαί οἱ*] pronomen ad Euphemum referri debet (cf. R. Add.). — *τὴν* et *οἰκίαν* del. Hi. — *συγγένῃ* cum *ται* supra *η*, sed erasum *ται*.

41. *αὐτῷ* Li.: *αὐτόν* (*πρὸς αὐτόν* ci. R.). — *βουλώμεθα* A (corr. apogr.). — *αὐτὸν* R. Bk.: *αὐτῶν*.

42. *παρήσι* pr., *παρείη* corr., sed ita pictum ut inde *παροίη* scripserit B. — *ἐπιόντα* Emp. Turr.: *εἰσιόντα*.

43. *αὐτῷ* cum R. Turr.: *αὐτῶν* (*αὐτοῦ* L.). —

τίθεον καὶ Ἀψεφίωνα, βουλευτὰς ὄντας καὶ καθη-
μένους ἔνδον, εἶτα δὲ καὶ τοὺς ἄλλους. ἀναστὰς
δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμαν-
δρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν
τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται
πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν
44 ἡ βουλὴ ὡς εὖ λέγει. | ἀκούσαντες δὲ ταῦτα Μαν-
7 τίθεος καὶ Ἀψεφίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο,
ἱκετεύοντες μὴ στρεβλωθῆναι ἀλλ' ἐξεγγυηθέντες
κριθῆναι. μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς
ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες
ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, κατα-
λιπόντες τοὺς ἐγγυητάς, οὓς ἔδει (ἐν) τοῖς αὐτοῖς
45 ἐνέχεσθαι ἐν οἷσπερ οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ
ἐξελθοῦσα ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδη-
σεν ἐν τοῖς ξύλοις. ἀνακαλέσαντες δὲ τοὺς στρα-
τηγοὺς ἀνειπεῖν ἐκέλευσαν Ἀθηναίων τοὺς μὲν ἐν
ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ ὅπλα
λαβόντας, τοὺς δ' ἐν μακρῷ τείχει εἰς τὸ Θησεῖον,
τοὺς δ' ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμείαν ἀγοράν,
τοὺς δὲ ἱππεῖς ἔτι (πρὸ) νυκτὸς σημῆναι τῇ σάλ-
πιγγι ἥκειν εἰς τὸ Ἀνάκιον, τὴν δὲ βουλὴν εἰς
ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύδειν, τοὺς δὲ πρυτά-
νεις ἐν τῇ θόλῳ. Βοιωτοὶ δὲ πεπυσμένοι τὰ πρά-

Ἀφεψίωνα Bk., Ἀψηφίονα L.; it. 44 Ἀφεψίων Bk., Ἀψηφ. L. V. praefat. — λέγοι Naber.

44. Ἀψ. v. § 48. — ἠκετεύοντες pr. — ἐξεγγυηθέντες Sl. Bk.: ἐξεγγυηθέντας. — ἐγκαταλιπόντες ci. S. — ἐν add. W.; hoc addendum aut ἐν quod sequitur delendum esse dicit Hertl.

45. εἰς τὸ Θησ. cum R. Bk.: εἴς τε Θ. — Ἱπποδαμείαν Lobeck. Turr.: Ἱπποδαμίαν. — (πρὸ) νυκτὸς scripsi; cf. § 48. — Ἀνάκιον scripsi (C. I. A. II, 660, 44): Ἀνάκειον (Ἀνακεῖον Schi.). —

γματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἦγον εἰς τὸ πρυτανεῖον στεφανώσαντες, καὶ ἐδείπνει ἐκεῖ.

Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν 46 παρῆσαν, ἀναμιμνῄσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα δέ μοι τοὺς πρυτάνεις κάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους.

ΜΑΡΤΥΡΕΣ.

Φέρε δή, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι 47 τῶν ἀνδρῶν ὧν ἀπέγραψεν, ἵν' εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυεν, πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν, τὸν μὲν συνειδότα ἀποδεικνύς, τοῦ δ' ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. Καὶ αὐτοῖς ἀναγίγνωσκε.

Χαρμίδης Ἀριστοτέλους·
οὗτος ἀνεψιὸς ἐμός· ἡ μήτηρ (ἡ) ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς ἀδελφοί.

ἐστρατευμένοι pr. — τῶν ante κακῶν om. pr. — ζεῦγος pr.

46. post τοὺς ἄλλους iterat A διδάσκετε: del. Muret. R. Bk.

47. ἀναγνῶ pro -σομαι Gebauer Lys. 228. — ἀναγινώσκετε pr. — ἡ add. Bk. — Ἀλκμέωνος scripsi (cf. § 16): Ἀλκμαίονος. — φρίνικος (corr. Ald.); tum ὁ ὀρχησάμενος (-μένου mg. Ald.), unde ὁ Ὀρχησαμενοῦ Wilhelm, qui similia alia nomina (ut Τεισαμενός, Ἀκεσαμενός, Ἀλεξαμενός) componit. Iam R., Kö., Ros. patris nomen latitare suspicati sunt. — post Κριτίας ἀνεψιὸς legebantur male iterata Εὐκρατίας ὁ Νικίου ἀδελφός, quae auct. R. del. Bk. — ceterum in hoc indice aliquid turbatum esse evincitur e § 68: ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά. nam etiamsi ibi cum Sl. πέντε pro ἑπτὰ rescribas, ut numerus constet, certe duo tantum consobrini commemorati erunt. fort. τοῦ πατρός altero loco

Ταυρέας·
οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.
Νισαῖος·
υἱὸς Ταυρέου.
Καλλίας ὁ Ἀλκμέωνος·
ἀνεψιὸς τοῦ πατρός.
Εὔφημος·
Καλλίου τοῦ Τηλοκλέους ἀδελφός.
Φρύνιχος ὁ Ὀρχησαμενοῦ·
ἀνεψιός.
Εὐκράτης ὁ Νικίου ἀδελφός·
κηδεστὴς οὗτος Καλλίου.
Κριτίας·
ἀνεψιὸς καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί.

Τούτους πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

48 *Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλητο, ἧκον δὲ τῷ μὲν μήτηρ τῷ δὲ ἀδελφὴ τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά, λέγει πρός με Χαρμίδης, ὢν μὲν ἀνεψιός, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν*
49 *τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδός, ὅτι „Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ' ἐν μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ*

delendum. Cf. Schöll p. 547, 6. — *τετταρακο . . . .* pr. — *ἀπέγραψεν* Steph.: *ἐπέγραψεν.*

48. *συνεκέκλητο* S.: *συνεκέκλειστο.* — *κλαόντων* Schi. L.: *κλαιόντων.*

ταῖς αἰτίαις δι' ἃς ἡμεῖς ἀπολλύμεθα οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν .... εἰ ἤκουσάς τι τούτου 50
τοῦ πράγματος τοῦ γενομένου, εἰπέ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ σοι μόνη ἐστίν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμέ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματά εἰμι, ὅ τι ἂν δέῃ ποιεῖν." λέγον- 51
τος δὲ ὦ ἄνδρες Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν· „Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών, πότερα περιίδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολομένους ἀδίκως, καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις ὡς ὄντας ἀλειτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως | ἀπολεῖσθαι, τὴν δὲ πόλιν ἐν κακοῖς 8
οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας, ἢ εἴπω Ἀθηναίοις ἅ περ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος;" ἔτι δὲ ἐπὶ τούτοις καὶ 52

49. post ἀδικεῖν lacuna et est et semper fuit in A XII litterarum. τούτων τοίνυν ins. vult S., φέρε δὴ τοίνυν Linder K. perperam, v. Kalinka p. 47, qui ipse σὺ τοίνυν ἤδη (ἀλλὰ δέομαί σου RSchöll). 50. δέῃ Bk.: δέοι. 51. ἀπολομένους L. coll. §§ 2, 53, 58: -λλυμένους (ἀπολλυμένους et quod sequitur καὶ del. Usener). — ἀλιτρίους A; ἀλειτηρίους, non ἀλιτ., verum puto (praef.). — ἀπολεῖσθαι Steph. R. Bait., coll. §§ 66, 67, 68: ἀπολέσθαι. — post ἔχοντας Dobr. add. ἅπαντας.

τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον εἰργασμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο καὶ αὐτῶν θάνατος κατέγνωστο, τέτταρες δὲ ἦσαν ὑπόλοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πεποιηκότων, Παναίτιος Χαιρέδημος Διάκριτος Λυσί-
53 στρατος· οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας τῶν ἀπολωλότων ἤδη. καὶ τοῖς μὲν οὐδέπω βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς (ὁ) ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα. ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐ-
54 τῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιιδεῖν. εἰ οὖν τινι ὑμῶν, ὦ ἄνδρες, (ἢ) τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην — ἃ ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλ-
55 λειν με — σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν γὰρ ἐμὲ μὲν λόγον δεῖ δοῦναι τῶν ἐμοὶ πεπραγμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ

52. *Χαιρέδημος*] exstat in tabulis poletarum (277[c]) *Χαιρεδ]ήμου τοῦ Ἐλπίου Ἀχ—*. — *Διάκριτος* nomen iniuria tentaverunt Valck. et R.: v. Turr.

53. *φίλους γ᾽ ὄντας* Hi. — (*ὁ*) *ὄλεθρος* cum R. Bk.

54. *τινὶ ὑμ . .* A pr. — *ἢ* cum Sl. add. Bk.

55. *δεῖ δοῦναι* Dobr. FSchöll: *διδόναι* (*δεῖ διδ.* R. Turr.). Cf. *δεῖ μαθεῖν* infra.

ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἐφίημι· ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γὰρ 56
ὦ ἄνδρες τοῦδε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι μὴ δοκεῖν κακῷ εἶναι, (ἀλλὰ πρῶτον μὲν ὑμᾶς,) εἶτα δὲ καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι οὔτε μετὰ κακίας οὔτε μετ' ἀνανδρίας οὐδεμιᾶς τῶν γεγενημένων πέπρακται ὑπ' ἐμοῦ οὐδέν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν τῇ πόλει, εἶτα δὲ καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς πόλεως ἁπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ μετὰ κακίας, ὡς ἐγὼ νομίζω. εἰ οὖν οὕτως ἔχει ταῦτα, σῴζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. φέρε δὴ — χρὴ γὰρ ὦ ἄνδρες ἀνθρωπί- 57
νως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ — τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυοῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἂν τις εἰπεῖν κακίαν εἶναι τὰ γενόμενα· καίτοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν· ὅπου δὲ τούτων τὸ 58
ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα

56. ὑμῖν post μὴ δοκεῖν addi vult R., post σωθέντι vel post κακῷ Scheib. — πόλει εἶτα δὲ καὶ R. Sl.: πόλει εἶτα . . καὶ A, unde πόλει εἶτα καὶ Bk. (legebatur πολιτείᾳ τε καί). Cf. 43. 46. 47. 50. 56. 132 (sine δὲ semel 3, 5). — δὲ post εἶπον del. R.

57. γὰρ post μὲν om. pr.? (nihil correctum esse affirmat L.). — δυοῖν Bk.: δυσί. — ἔχει pr. — γενόμενα ci. R. Bgk. Bait.: λεγόμενα.

περιιδεῖν ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἄλλος ἀπώλλυεν ἢ ἐγὼ μὴ εἰπὼν ὡς ἕτεροι ἥμαρτον· Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγιγνόμην ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους Ἀθηναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς
59 μεγίστοις ἐγίγνετο. ταῦτα μὲν οὖν ἦν ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα αὐτός τε ἐσῳζόμην καὶ τὸν πατέρα ἔσῳζον καὶ τοὺς ἄλλους συγγενεῖς, καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἄνδρες ἐγίγνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων, οἳ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν, οὔτε δήπου οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν οὔτε οἱ
60 φεύγοντες μᾶλλον ἔφευγον. ταῦτα δὲ πάντα σκοπῶν ηὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ ἐλέγξαι Διοκλείδην ψευσάμενον, (καὶ σῶσαί τε
9 ἡμᾶς) καὶ τιμωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς μὲν ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ ποιῶν μέγιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα

58. videtur hic quoque restituendum esse καὶ τοὺς (ἄλλους) (quod a me accepit L.) συγγενεῖς καὶ ἀναγκαίους τοσούτους (ὄντας), sicut est § 50, aut delendum τοὺς et scribendum ἀναγκαίους pro ἀνεψιούς. — ἄλλος (A L.) om. edd. — μὲν post Διοκλ. om. pr. — ἐγίνετο . . (. . . . sec. L.) ταῦτα pr.

59. τῶν δ' ἄλλων οἳ Dobr. Turr.: τῶν δ' ἄλλων οἱ λοιποί. Fort. autem vv. οἱ λοιποὶ . . ἐμηνύθ. cum Dobr. delenda. cf. § 52. — πρότερον in mg. add.

60. ηὕρισκον L.: εὕρισκον.

ἐλάμβανε. διὰ ταῦτα εἶπον τῇ βουλῇ ὅτι εἰδείην 61 τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο μὲν πινόντων ἡμῶν ταύτην τὴν βουλὴν Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ, καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ, ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ πωλίον ὅ μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε· αἰσθόμενος δ' 62 Εὐφίλητος ὡς ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸ Φορβαντεῖον. ταῦτα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγὴς ἀνέθηκεν, οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν, ὡς ἐμοῦ τοῦτο ποιήσοντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. οἱ δ' αἰσθόμενοι δεινὰ 63 ἐποίουν, ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι „γεγένηται ὦ Ἀνδοκίδη καὶ πέπρακται ἡμῖν ταῦτα. σὺ μέντοι εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἕξεις ἡμᾶς ἐπιτηδείους ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλε-

61. *γενέσθαι* ante *Εὐφ.* add. codd., del. Bk. — *τότε*] *τόπε* pr. — *οὐκ ἐγένετο* Schöll. — *πωλίον* Muret. R. Bk.: *πωλεῖον*.
62. *αὐτῷ*] *αὐτῶν* pr. — *Φορβαντεῖον* cum Vales. et R. Bk. (coll. Harp. s. v.): *Φορβάντιον*. — cf. Harp. s. v. *Ἀνδοκίδου Ἑρμῆς: καὶ αὐτὸς Ἀ. ἐν τῷ π. τ. μυστ. ὅτι τῆς Αἰγῆδος εἴη τὸ ἀνάθημα εἴρηκεν.* — *ποιήσοντος* ci. R. Valck.: *ποιήσαντος*.
63. Valckenaerium *δεινὰ ἐποιοῦντο* rescribentem refellunt Dobr. Förtsch. (comm. crit. de locis nonnullis Lys. et Dem. p. 23 sq.). — *συμπεποιηκὼς* W. — *ὑμῖν* (corr. Ald. ut vid.).

πώτεροί σοι ἡμεῖς ἐχθροὶ ἐσόμεθα ἢ ἄλλοι τινὲς
64 *δι' ἡμᾶς φίλοι.“ εἶπον αὐτοῖς ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι, ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι πεποίηται. ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης, καὶ τὰς θεραπαίνας ἔλαβον οἱ πρυτάνεις,*
65 *ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν ᾗ ἐγὼ ἔλεγον καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σῴζεσθαι φράσας τοὺς πείσαντας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον καὶ Ἀμίαντον*
66 *τὸν ἐξ Αἰγίνης. καὶ οὗτοι μὲν δείσαντες ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε, τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε, αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπῇτε,*
67 *πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες. ἐν οἷς*

64. inter *δὲ* et *οὐκ ἐμὲ* nulla est rasura in A. — *ὡς.ἦν* ut videtur pr. (h. e. *ὡς δ' ἦν*). — *ὅθεν ὁρμ. κτέ.*] «illius domus ex qua profecti facinus patraverant,» cf. Dobr.; inde (*τῆς οἰκίας*) post *πρυτ.* L. (aut delenda esse *ὅθεν* . . *ἐκεῖνοι*).

65. *δὲ* . . . *Ἀλκιβιάδην* pr. cf. tab. poletarum 277[c]: [*Ἀλκιβιάδου τοῦ* — —]*ου Φηγουσίου*. — verba *ἐξ Αἰγίνης* (quae tum Atheniensium erat) sollicitarunt immerito Naber et Kö. (*τὸν Αἰγιλιᾶ, τὸν ἐξ Αἰγιλίας*).

66. *τοὺς ἐμοὺς συγγ.* del. Naber L. — *ἀπῇτε* W.: *ἀπίητε* A, *ἀπήειτε* Ald.

ἐγώ, ὦ ἄνδρες, τῆς μὲν τύχης ᾗ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην, τῶν δὲ (δι' ἐμὲ) γενομένων ἕνεκα εἰκότως (ἂν) ἀνὴρ ἄριστος δοκοίην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην ἠναντιώθην καὶ ἀντεῖπον καὶ ἐλοιδόρησα [ἐκείνῳ] ὧν ἦν ἄξιος, ἁμαρτόντων δ' ἐκείνων τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα, καὶ μηνύσαντος κατ' αὐτῶν Τεύκρου οἱ μὲν αὐτῶν ἀπέθανον οἱ δ' ἔφυγον, πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι καὶ μέλλειν ἀπολεῖσθαι. τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας, Παναίτιον Διάκριτον Λυσίστρατον Χαιρέδημον· οὗτοι μὲν ἔφυγον 68
δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ πατήρ, ὁ κηδεστής, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ, καὶ αὐτοὶ ὁμολογοῦσιν· ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας καὶ εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας ἐξηλέγχθη, ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ ἄνδρες, ἀνα- 69
μιμνῄσκεσθε, καὶ οἱ εἰδότες διδάσκετε τοὺς ἄλλους. Σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυθέντας δι' ἐμέ· ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν εἰς

67. vv. τῆς μὲν τύχης — ἐλεηθείην laudat Prisc. XVIII c. 25 (ubi est ὑφ' ὑμῶν ἐλ.). — δι' ἐμὲ addidi: an potius ἐπ' (ἐν) ἐμοί? τότε add. W.; τῶν δὲ πεποιημένων scr. Li. — γενομένων Bait. Turr.: γινομένων. — ἕνεκα scripsi: ἕνεκεν. — (ἂν) ἀνὴρ ci. R. — ἐκείνῳ del. W.; ἐκείνων pr. A; ἐκεῖνον L. — vv. οἱ μὲν . . ἔφυγον del. Li. ut ex §§ 34. 49. 59 male huc illata (sed nusquam sunt haec ipsa verba).

68. ἑπτά] cf. quae adnotata sunt ad § 47 (πέντε scr. L.). — ἐξηλέγχη A (corr. apogr.). 69. οἱ εἰδότες cum R. Turr.: οἱ ἰδόντες (οἱ om. pr.). — ἂν ἰδόντες pr. —

τούτους. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες· μέχρι τούτου ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθαι βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων | ἀπολογήσομαι.

(ΜΑΡΤΥΡΕΣ.)

70 Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε
πάντα καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὥς γ' ἐμαυτὸν
πείθω· εἰ δέ τίς τι ὑμῶν ποθεῖ ἢ νομίζει τι μὴ
ἱκανῶς εἰρῆσθαι ἢ παραλέλοιπά τι, ἀναστὰς ὑπο-
μνησάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς τοῦτο· περὶ
71 δὲ τῶν νόμων ἤδη ὑμᾶς διδάξω. Κηφίσιος γὰρ
οὑτοσὶ ἐνέδειξε μέν με κατὰ τὸν νόμον τὸν κεί-
μενον, τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα
πρότερον γενόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ
προσήκει οὐδέν. ὁ μὲν γὰρ εἶπεν εἴργεσθαι τῶν
ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ
δὲ τούτων οὐδέτερα πεποίηται· οὔτε ἠσέβηται οὔτε
72 ὡμολόγηται. ὡς δὲ καὶ τοῦτο τὸ ψήφισμα λέλυται
καὶ ἄκυρόν ἐστιν, ἐγὼ ὑμᾶς διδάξω. καίτοιγε τοι-
αύτην ἀπολογίαν περὶ αὐτοῦ ποιήσομαι, ὅπου μὴ
πείθων μὲν ὑμᾶς αὐτὸς ζημιώσομαι, πείσας δὲ
ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι. ἀλλὰ
73 γὰρ τἀληθῆ εἰρήσεται. ἐπεὶ γὰρ αἱ νῆες διεφθά-
ρησαν καὶ ἡ πολιορκία ἐγένετο, ἐβουλεύσασθε περὶ
ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τοὺς ἀτίμους ἐπιτίμους

ἔχει] ἔστω L. — *ΜΑΡΤΥΡΕΣ* add. Markl. ap. Dobs. R. Turr.
70. εἰ δ' ἔτι τίς τι mal. S. τι post τίς om. pr.
71. Ἰσοτιμίδης οὗ R. (similiter etiam Canter. et Valck.): εἰς ὅτι μηδ' ἴσον.
73. ἐβουλεύσασθ . . pr. —

ποιῆσαι, καὶ εἶπε τὴν γνώμην Πατροκλείδης. οἱ
δὲ ἄτιμοι τίνες ἦσαν, καὶ τίνα τρόπον ἕκαστοι;
ἐγὼ ὑμᾶς διδάξω. οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ
δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον ἄρξαντες ἀρχάς,
ἢ ἐξούλας ἢ γραφὰς ἢ ἐπιβολὰς ὦφλον, ἢ ὠνὰς
πριάμενοι ἐκ τοῦ δημοσίου μὴ κατέβαλον τὰ χρή-
ματα, ἢ ἐγγύας ἐγγυησάμενοι πρὸς τὸ δημόσιον·
τούτοις ἡ μὲν ἔκτεισις ἦν ἐπὶ τῆς ἐνάτης πρυτα-
νείας, εἰ δὲ μή, διπλάσιον ὀφείλειν καὶ τὰ κτήματα
αὐτῶν πεπρᾶσθαι. εἷς μὲν τρόπος οὗτος ἀτιμίας 74
ἦν, ἕτερος δὲ ὧν τὰ μὲν σώματα ἄτιμα ἦν, τὴν
δ' οὐσίαν εἶχον καὶ ἐκέκτηντο· οὗτοι δ' αὖ ἦσαν
ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν· τούτους ἔδει καὶ
αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι· καὶ ὁπό-
σοι λίποιεν τὴν τάξιν ἢ ἀστρατείας ἢ δειλίας ἢ
ἀναυμαχίου ὄφλοιεν ἢ τὴν ἀσπίδα ἀποβάλοιεν, ἢ
τρὶς ψευδομαρτυρίων ἢ τρὶς ψευδοκλητείας ὄφλοιεν,
ἢ τοὺς γονέας κακῶς ποιοῖεν· οὗτοι πάντες ἄτιμοι
ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. ἄλλοι αὖ 75
κατὰ προστάξεις, οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν,
ἀλλὰ μέρος τι αὐτῶν, οἷον οἱ στρατιῶται, οἷς, ὅτι

εὐθύνας ὦφλον cum R. Sl. Turr.: εὐθ. ὤφειλον. — ἄρξαντας (corr. Ald.). — num ἐξούλης? — ἐπιβολὰς Steph.: ἐπιβουλὰς. — ἐγγυησάμενοι RSchöll: ἐγγυήσαντο (ἠγγ. St. Bk.). — ἔκτεισις scripsi: ἔκτισις, v. praefat. — ἐννάτης pr.

74. ὧν μὲν τὰ libri (Turr. L.; corr. Ald.). — εἶχον ci. Bk. (Turr.): ἔσχον. — vv. τούτους ἔδει — εἶναι] affert Suid. s. v. ἀναυμαχίου, qui habet οὕτω δὲ δεῖ, unde τούτους δ' ἔδει Turr. — ἀναυμαχίου Suid. l. c. Petit. Küster. Taylor. (Bk.): ναυμαχίου. — ψευδομαρτυρίων] v. § 7. — ψευδοκλητείας S. Turr.: ψευδοκλητίας. „addere potuit ἢ τρὶς παρανόμων et forsan addidit." Dobr. (improbat L.).

75. αὐτῶν Li. (coll. Dem. 51, 12): αὐτῶν (delevi ed. I). —

ἐπέμειναν ἐπὶ τῶν τετρακοσίων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα ἦν ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ οὐκ ἐξῆν αὐτοῖς οὐδὲ βουλεῦσαι. τούτων ἦσαν οὗτοι ἄτιμοι· αὕτη γὰρ ἦν τούτοις πρόσταξις.
76 ἑτέροις οὐκ ἦν γράψασθαι, τοῖς δὲ ἐνδεῖξαι· τοῖς δὲ μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν, τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. ταῦτ' οὖν ἐψηφίσασθε ἐξαλεῖψαι πάντα [τὰ ψηφίσματα], καὶ αὐτὰ καὶ εἴ πού τι ἀντίγραφον ἦν, καὶ πίστιν ἀλλήλοις περὶ ὁμονοίας δοῦναι ἐν ἀκροπόλει. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο.

77 *ΨΗΦΙΣΜΑ. Πατροκλείδης εἶπεν, Ἐπειδὴ ἐψηφίσαντο Ἀθηναῖοι τὴν ἄδειαν περὶ* (*τῶν ἀτίμων καὶ*) *τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι καὶ ἐπιψηφίζειν, ψηφίσασθαι τὸν δῆμον ταὐτὰ ἅπερ ὅτε ἦν τὰ Μηδικά, καὶ συνήνεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. περὶ δὲ τῶν ἐγγεγραμμένων εἰς τοὺς πράκτορας ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων θεῶν ἢ τὸν βασιλέα, ἢ εἴ τις μὴ ἐξεγράφη, μέχρι τῆς ἐξελ-*
78 *θούσης βουλῆς ἐφ' ἧς Καλλίας ἦρχεν, ὅσοι ἄτιμοι ἦσαν ἢ ὀφείλοντες, καὶ ὅσων εὔθυναί τινές εἰσι κατεγνωσμέ-*

τετρακοσίων (§ 78 al.) Dobr.: τυράννων. — πολίταις] supra λι aliquid erasum est in A (sec. L. accentus). — δ' ἐν] δὲ (corr. Ald.).

76. Colon post ἐνδεῖξαι, comma post Ἰωνίαν ponendum esse vidit Li. — seclusi τὰ ψηφ., coll. § 79.

77. ΨΗΦΙΣΜΑ in mg. — (τῶν ἀτίμων καὶ) τῶν ὀφειλόντων S. L. coll. Dem. Timocr. 46 (v. et. § 78). — ταὐτὰ Boeckh Turr.: ταῦτα. — ἐγγεγραμμένων Emp. L.: ἐπιγεγρ. — καὶ τῶν] ἢ τοὺς τῶν Droysen. — ἢ ante εἴ τις del. Emp.; contra ἐπεγράφη pro ἐξεγράφη ci. S. (ἐνεγράφη Droysen L.); μὴ (ὀρθῶς) ἐξεγρ. ed. I. — Comma post ἐξεγρ. ego addidi; cf. 78 εἰς τὸν αὐτὸν χρόνον.

78. ἢ ὀφείλοντες (vel ἢ tantum cum R.: ita L.) deleri iubet

ναι ἐν τοῖς λογιστηρίοις ὑπὸ τῶν εὐθύνων καὶ τῶν παρέδρων, ἢ μήπω εἰσηγμέναι εἰς τὸ δικαστήριον γραφαί τινές εἰσι περὶ τῶν εὐθυνῶν, ἢ προστάξεις . ., ἢ ἐγγύαι τινές εἰσι κατεγνωσμέναι, εἰς τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅσα ὀνόματα τῶν τετρακοσίων τινὸς ἐγγέγραπται, ἢ ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἐστίν που γεγραμμένον· πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων, ἢ ἐξ Ἀρείου πάγου ἢ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου ἢ Δελφινίου ἐδικάσθη [ἢ] ὑπὸ τῶν βασιλέων, ἢ ἐπὶ φόνῳ | τίς ἐστι φυγή, ἢ θάνατος 11
79 *κατεγνώσθη, ἢ σφαγεῦσιν ἢ τυράννοις· τὰ δὲ ἄλλα πάντα ἐξαλεῖψαι τοὺς πράκτορας καὶ τὴν βουλὴν κατὰ τὰ εἰρημένα πανταχόθεν, ὅπου τι ἔστιν ἐν τῷ δημοσίῳ, καὶ εἴ (τι) ἀντίγραφόν που ἔστι, παρέχειν τοὺς θεσμοθέτας καὶ τὰς ἄλλας ἀρχάς. ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ. ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι μηδὲ μνησικακῆσαι μη-*

Droysen. — *ὅσον* (corr. apogr.). — *λογιστηρίοις*] cf. Harp.: *λογ. δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος — — καὶ Ἀνδ. ἐν τῷ π. τ. μυστ. δηλοῦσιν.* — *καὶ τῶν παρέδρων* Boeckh. L. sec. I. A. II, 809ᵇ 7: *ἢ τῶν π.* (*προέδρων* pr.). — *προστάξεις* (75)] lacunam esse vidit Wachsmuth. — *τινὸς* del. Dr. L. (c. R.). — *ἢ* (*εἰ*) *ἄλλο* Li. RSchöll. — *ἐστίν* A L.: *ἐστί*. — *μεινάντων* . ., *ἢ* Dr.: *μ.*, *ἢ* (*οἷς*) L. — vv. *ἢ ἐξ Ἀρείου πάγου — τυράννοις* e Solonis lege (*ἄξων ιγ', νόμος η'*, v. Plut. Sol. XIX) sumpsit Patroclides. — *ἢ ἐκ πρυτανείου ἢ Δελφινίου* (Delph. om. Plut.) del. Platner, def. Scheibe (*ἢ — ἢ* entweder — oder), *ἢ* ante *ἐκ* del. S., *ἢ Δελφ.* del. Dr. L. — *καταδικασθεῖσιν* (*δικασθεῖσιν* L.); *ὑ. τ. β. ἐπὶ φόνῳ* Dr. L.; *ἢ ὑπὸ τῶν β.* del. iam Luz. al., sicut om. Plut.; def. Bgk. ep. ante ad Schi. p. 125 et alia ratione Scheibe; ex *ΗΥΠΟ* explicat Wilam.; S.: *ἢ ὑπὸ τ. βασιλέων ἐπὶ φ. τίς ἐστι φυγή, ἢ θάνατος κατεγν. ἢ σφαγεῦσιν ἢ τυράννοις.* — *ἢ* ante *ἐπὶ* del. Wecklein L.; *ἢ θάν. κατ.* del. Scheibe Dr. L. — *ἢ σφαγαῖσιν ἢ τυραννίδι* Dr. L. (*ἢ σφαγαῖσιν ἢ ἐπὶ τυραννίδι* Plut.).

79. *κατὰ τὰ εἰρ.* Sl. Bk.; *καὶ τὰ εἰρ.* v. (Turr.): *βουλήν, καὶ τὰ εὑρημένα* Scheibe. — *ζητήσαντας* post *πανταχ.* et *αὐτὰ* post *δημοσίῳ* addit Dr. — *εἴ* (*τι*) *ἀντίγρ.* post me L. — post *ἐξεῖναι* lac. esse statuit Dr., in hunc fere modum explendam: (*τοὺς δὲ Ἀθηναίους ὀμόσαι καθ' ἱερῶν τελείων ἐν πόλει ἢ*

δέποτε· εἰ δὲ μή, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταῦτα ἐν τοῖς αὐτοῖς ἐν οἷσπερ οἱ ἐξ Ἀρείου πάγου φεύγοντες, ὅπως ἂν ὡς πιστότατα ἔχῃ Ἀθηναίοις καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον.

80 *Κατὰ μὲν τὸ ψήφισμα τουτὶ τοὺς ἀτίμους ἐπιτίμους ἐποιήσατε· τοὺς δὲ φεύγοντας οὔτε Πατροκλείδης εἶπε κατιέναι οὔθ' ὑμεῖς ἐψηφίσασθε. ἐπεὶ δ' αἱ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθε, καὶ κατέστησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή τε κατελήφθη Μουνιχίαν τε κατέλαβον, ἐγένετό (θ') ὑμῖν ὧν ἐγὼ οὐδὲν δέομαι μεμνῆσθαι οὐδ' ἀνα-*
81 *μιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν. ἐπειδὴ δ' ἐπανήλθετε ἐκ Πειραιῶς, γενόμενον ἐφ' ὑμῖν τιμωρεῖσθαι ἔγνωτε ἐᾶν τὰ γεγενημένα, καὶ περὶ πλείονος ἐποιήσασθε σῴζειν τὴν πόλιν ἢ τὰς ἰδίας τιμωρίας, καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλήλοις τῶν γεγενημένων. δόξαντα δὲ ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως, ἕως (ἂν) οἱ νόμοι τεθεῖεν· τέως δὲ χρῆσθαι τοῖς Σό-*
82 *λωνος νόμοις καὶ τοῖς Δράκοντος θεσμοῖς. ἐπειδὴ δὲ βουλήν τε ἀπεκληρώσατε νομοθέτας τε εἵλεσθε,*

μὴν ὁμονοήσειν) μηδὲ μνησικακήσειν μηδέποτε; it. L. post *μηδέποτε* puncta posuit (⟨*τούτων δὲ πίστιν δοῦναι Ἀθηναίους ἅπαντας ἐν πόλει*⟩). — *ἔχῃ* scr. (L.): *ἔχει* A, *ἔχοι* v.

80. *ἐπειδ.* A pr. (*ἐπεὶ δὲ* ego ed. 2), *ἐπεὶ δ' αἱ* A corr. Bk.; cf. v. l. Dem. XX, 54. Malim *ἐπειδὴ δ' αἱ*, cf. 81; 85, et postea (*τότε δὴ*) *καὶ τά*, coll. 65. 122. — *Φυλὴ . . κατέλαβον* del. Li.; *μετὰ ταῦτα . . κατέλ.* (*καὶ*) in § 81 post *ἐπειδὴ δὲ* transp. S. Verum *κακά* quae dicit orator sunt etiam belli civilis, non tantum dominationis XXXvirorum. — *Μουνιχίαν* L.: *Μουνυχίαν*. — *θ'* addi mal. R.

81. *Πειραιῶς* Sl. L.: *-αιέως*. — *τιμωρεῖσθε* pr. — *ἕως* [*ἂν*] Dobr. L.: *ἕως αὖ* W. (ego ed. 2)

ηὕρισκον τῶν νόμων τῶν τε Σόλωνος καὶ τῶν Δράκοντος πολλοὺς ὄντας οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι ἦσαν τῶν πρότερον ἕνεκα γενομένων. ἐκκλησίαν ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφίσασθε, δοκιμάσαντες πάντας τοὺς νόμους, εἶτ' ἀναγράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων οἳ ἂν δοκιμασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

(ΨΗΦΙΣΜΑ.) Ἔδοξε τῷ δήμῳ, Τεισαμενὸς εἶπε, πολι- 83
τεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς, χρῆσθαι δὲ καὶ τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ πρόσθεν χρόνῳ. ὁπόσων δ' ἂν προσδέῃ, οἵδε ᾑρημένοι νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγράφοντες ἐν σανίσιν ἐκτιθέντων πρὸς τοὺς ἐπωνύμους σκοπεῖν τῷ βουλομένῳ, καὶ παραδιδόντων ταῖς ἀρχαῖς ἐν τῷδε τῷ μηνί. τοὺς 84
δὲ παραδιδομένους νόμους δοκιμασάτω πρότερον ἡ βουλὴ καὶ οἱ νομοθέται οἱ πεντακόσιοι, οὓς οἱ δημόται εἵλοντο, ἐπειδὰν ὀμωμόκωσιν. ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλο-

82. **ηὕρισκον** scr.: *εὕρισκον*. Asyndeton ut hic et. §§ 41. 42. 43. 120 sq. 123 exstat (*εὑρίσκοντες* ci. R. Bait. Turr. L.; *εὕρισκον γὰρ* Bgk.; *εὕρισκόν τε* Luz. Sl.). — *τῶν Δρ.*] *τοῦ Δρ.* A (corr. apogr.). — *γενομένων* auct. R. Turr.: *γινομένων* (*γεγενημένων* Bake). — *δοκιμάσαντας* Dobr. Turr. coll. § 89 (ego ed. 2, L.). — *τοὺς ἀνόμους* A (num fuit *τοὺς ἀρχαίους νόμους*?).

83. *ΨΗΦΙΣΜΑ* add. Ald. — *τῇ βουλῇ καὶ* post *ἔδοξεν* addit Droysen. — *Τεισαμενὸς* scripsi: *Τισαμενός*. — post *χρόνῳ* lac. esse statuit Li. — *προσδέῃ* Bk.: *προσδέοι*. — *οἵδε*] *οἱ Ν* (*πεντήκοντα*) vel *οἱ δέκα* Sl., *οἱ* vel *οἱ ΔΕ* (*δεκάκις πέντε*) R., *οἱ ἤδη* Dobr. L. Vel *οἱ δὲ* scribendum et lacunam ante hoc voc. esse statuendum est. — *ἀναγράφοντες* Bk.: *ἀναγράφοντας* (*ἀναγραφέντας* Naber). — „aut *πρὸ τῶν ἐπωνύμων* (Dem. 21, 103) aut *πρὸς τοῖς ἐπωνύμοις*“ R. Ap. Dem. 20, 94; 24, 18. 23 est *πρόσθε τῶν ἐπωνύμων*, atque ita L. (qui et. Isocr. 18, 61. Isae. 5, 38. Aesch. 3, 39 conf.).

84. *οἱ πενταχ. καὶ οἱ νομ.* Petitus R. Bakius. Sed cf. C. I. A. I, 266: [*ἡ*] *βουλὴ καὶ οἱ πεντακόσιο*[*ι* . . . .; U. Köhler Urk. u. Unters. p. 63 sqq. — *δημῶται* A. — *ἐπειδὰν ὀμωμόκωσιν* Dobr.: *ἐπειδὴ ὀμωμόκασιν*.

μένῳ, εἰσιόντι εἰς τὴν βουλὴν συμβουλεύειν ὅ τι ἂν ἀγαθὸν ἔχῃ περὶ τῶν νόμων. ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, ἐπιμελείσθω ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τῶν νόμων, ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμένοις νόμοις χρῶνται. τοὺς δὲ κυρουμένους τῶν νόμων ἀναγράφειν εἰς τὸν τοῖχον, ἵνα περ πρότερον ἀνεγράφησαν, σκοπεῖν τῷ βουλομένῳ.

85 Ἐδοκιμάσθησαν μὲν οὖν οἱ νόμοι, ὦ ἄνδρες, κατὰ τὸ ψήφισμα τουτί, τοὺς δὲ κυρωθέντας ἀνέγραψαν εἰς τὴν στοάν. ἐπειδὴ δ' ἀνεγράφησαν, ἐθέμεθα νόμον, ᾧ πάντως χρῆσθε. Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός.

86 Ἆρά γε ἔστιν ἐνταυθοῖ ὅ τι περιελείπετο περὶ ὅτου οἷόν τε ἢ ἀρχὴν εἰσάγειν ἢ ὑμῶν πρᾶξαί τινι, ἀλλ' ἢ κατὰ τοὺς ἀναγεγραμμένους νόμους; ὅπου οὖν ἀγράφῳ νόμῳ οὐκ ἔξεστι χρήσασθαι, ἦ που ἀγράφῳ γε ψηφίσματι παντάπασιν οὐ δεῖ [γε] χρήσασθαι. ἐπειδὴ τοίνυν ἑωρῶμεν ὅτι πολλοῖς τῶν πολιτῶν εἶεν συμφοραί, τοῖς μὲν κατὰ νόμους, τοῖς δὲ κατὰ ψηφίσματα [τὰ] πρότερον γενόμενα, τουτουσὶ τοὺς νόμους ἐθέμεθα, αὐτῶν εἵνεκα τῶν νυνὶ

ἵνα περ (οἱ ἄλλοι νόμοι?) Dr. 85. δ' add. S. Turr. (ἐπεὶ δὲ v.). — πάντως pr. (ci. Sluiter; cf. § 102): πάντες. 86. ἔστιν ἐνταυθοῖ ὅ τι scripsi cum Dobr. (qui ἐνταυθὶ) Nab. coll. § 89: ἔστι τοῦτο ὅτι. — περιελείπετο cum R. Bk.: περιέλειπτο (περιελέλειπτο Sl.). — τινι] τινα Sl. Li.; aut scr. ἀρχῇ cum Dobr. — ἂν ἀγράφῳ pro ἀγρ. bis A; alterum ἂν pridem sublatum est, alterum a Bk. — [γε χρήσασθαι] ego ed. 1 Li., [γε] Gebauer (ego ed. 2), [δεῖ γε χρ.] Hi. cf. 24. 90, ubi item repetuntur verba. (παντ. οὐκ ἔστι χρ. ci. Linder.) — [τὰ] Naber Li. — εἵνεκα A Bk.: ἕνεκα (Li.).

ποιουμένοων, ἵνα τούτων μηδὲν γίγνηται μηδὲ ἐξῇ συκοφαντεῖν μηδενί. Καί μοι ἀνάγνωθι τοὺς νόμους.

87 *ΝΟΜΟΙ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός. ψήφισμα δὲ μηδὲν μήτε βουλῆς | μήτε* 12 *δήμου νόμου κυριώτερον εἶναι. μηδὲ ἐπ' ἀνδρὶ νόμον ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, ἐὰν μὴ ἑξακισχιλίοις δόξῃ κρύβδην ψηφιζομένοις.*

Τί οὖν ἦν ἐπίλοιπον; οὑτοσὶ ὁ νόμος. Καί μοι ἀνάγνωθι τοῦτον.

ΝΟΜΟΣ. Τὰς δὲ δίκας καὶ τὰς διαίτας κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο. τοῖς δὲ νόμοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος.

Τὰς μὲν δίκας ὦ ἄνδρες καὶ τὰς διαίτας ἐποιήσατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις εἶεν· τῶν δὲ δημοσίων (ἐφ') ὁπόσοις ἢ γραφαί εἰσιν ἢ φάσεις ἢ ἐνδείξεις ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε 88

87. *ΝΟΜΟΙ* ZM Turr. (ci. R.): *ΝΟΜΟΣ*. — *μήτε* post *μηδὲν* habet A (om. in edit. add. Turr.). — *μηδὲ νόμον ἐπ' ἀνδρὶ* Dem. Aristocr. 86; c. Steph. β 12; *μηδὲ ν. ἐξ. ἐπ' ἀνδρὶ θεῖναι* c. Tim. 59. — *Ἀθηναίοις τιθῇ, ἐὰν μὴ ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρ. ψηφ.* Dem. Tim. l. c. Secl. *ἐὰν μὴ ἑξ. δ. κρ. ψ.* Li. — *τί νῦν ἡμῖν ἔτι λοιπόν* (cf. 146) ci. R. — *ΝΟΜΟΣ* add. Ald. — *τὰς μὲν δίκας* fort. legendum esse dicit S.; cf. § 88. — hanc legem paullo aliter exhibet Dem. Tim. 56.

88. *τῇ* add. apogr. — *(βέβαιαι) αἱ πράξεις* W., *αἱ πρ. (κύριαι)* ed. I. — *ἐφ'* addidi (L.).

89 χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. ὅπου οὖν ἔδοξεν ὑμῖν δοκιμάσαι μὲν τοὺς νόμους, δοκιμάσαντας δὲ ἀναγράψαι, ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός, ψήφισμα δὲ (μηδὲν) μήτε βουλῆς μήτε δήμου (νόμου) κυριώτερον εἶναι, μηδ' ἐπ' ἀνδρὶ νόμον (ἐξεῖναι) τιθέναι ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, τοῖς δὲ νόμοις τοῖς κειμένοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος, ἐνταυθοῖ ἔστιν ὅ τι ὑπολείπεται ἢ μεῖζον ἢ ἔλαττον τῶν γενομένων πρότερον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως κύριον ἔσται; οὐκ οἶμαι ἔγωγε, (ὦ) ἄνδρες. σκοπεῖτε δὲ καὶ αὐτοί.

90 Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες μετὰ τὰς διαλλαγάς, „καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα· οὐδὲ τούτων ὃς ἂν ἐθέλῃ εὐθύνας διδόναι τῆς ἀρχῆς ἧς ἦρξεν.“ ὅπου τοίνυν αὐτοῖς τοῖς τριάκοντα ὤμνυτε μὴ μνησικακήσειν, τοῖς μεγίστων κακῶν αἰτίοις, εἰ διδοῖεν εὐθύνας, ἦ που σχολῇ τῶν γε ἄλλων πολιτῶν τινι ἠξιοῦτε μνησικακεῖν.

91 ἡ δὲ βουλὴ αὖ ἡ ἀεὶ βουλεύουσα τί ὄμνυσι; „καὶ οὐ

89. ὅπου Li. coll. § 58. 86. 90. 2, 1. 27. 3, 2: ὁπότε (quod non exstat nisi 1, 7). Sequitur ἐνταυθοῖ. — μηδὲν addidi e § 87 (L.). — νόμου cum R. add. Bk. e § 87. — ἐξεῖναι suadente S. (qui etiam θεῖναι mavult) addidi e § 87 (L.). — πᾶσι A. — γενομένων Turr.: γινομένων. — ὦ suadente me add. L.

90. πλὴν] π.ὴν pr. — καὶ τῶν δέκα post ἕνδεκα cum Vales. et Schneider. add. Turr., καὶ τῶν ἐν Πειραιεῖ δέκα add. L. — ὅποι (corr. apogr.). — ὄμνυται (corr. Ald.). — μεγίστων R. Bk.: μεγίστοις.

91. αὖ ἡ cum R. et Boeckh. Bk.: αὕτη. —

δέξομαι ἔνδειξιν οὐδὲ ἀπαγωγὴν ἕνεκα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φυγόντων.“ ὑμεῖς δ' αὖ, ὦ (ἄνδρες) Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; „καὶ οὐ μνησικακήσω, οὐδὲ ἄλλῳ πείσομαι, ψηφιοῦμαι δὲ κατὰ τοὺς κειμένους νόμους.“ ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς ὑμῖν λέγειν ὡς ὑπὲρ ὑμῶν λέγω καὶ τῶν νόμων.

Σκέψασθε τοίνυν ὦ ἄνδρες καὶ τοὺς νόμους 92
καὶ τοὺς κατηγόρους, τί αὐτοῖς ὑπάρχον ἑτέρων
κατηγοροῦσι. Κηφίσιος μὲν οὑτοσὶ πριάμενος ὠνὴν
ἐκ τοῦ δημοσίου, τὰς ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν
τῇ γῇ γεωργούντων ἐνενήκοντα μνᾶς ἐκλέξας, οὐ
κατέβαλε τῇ πόλει καὶ ἔφυγεν· εἰ γὰρ ἦλθεν, ἐδέδετ'
ἂν ἐν τῷ ξύλῳ. ὁ γὰρ νόμος οὕτως εἶχε, κυρίαν 93
εἶναι τὴν βουλήν, ὃς ἂν πριάμενος τέλος μὴ κατα-
βάλῃ, δεῖν εἰς τὸ ξύλον. οὗτος τοίνυν, ὅτι τοῖς
νόμοις ἐψηφίσασθε ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι,
ἀξιοῖ ἃ ἔχει ὑμῶν ἐκλέξας μὴ ἀποδοῦναι, καὶ νῦν
γεγένηται ἀντὶ μὲν φυγάδος πολίτης, ἀντὶ δὲ ἀτίμου

πρότερον Steph.: **προτέρων**. — **φυγόντων** S. Turr.: **φευγόντων**. — **τί**] **ὅτι** (corr. Ald.). — **ἄλλῳ**] cf. Dem. Tim. § 149, C. I. A. I, 27^a, v. 24. — **τοὺς** (**ἀπ' Εὐκλείδου ἄρχοντος**) **κειμ.**? Li. — **ἡμῶν** (corr. apogr. vel. Ald.).

92. **καὶ τοὺς νόμους** del. R. W.; **κατὰ τ. ν.** Luzac., quae post **ὑπάρχον** transponit Li., ante **τί** Kal. — **ὑπαρχόντων** codd., **ὑπάρχον τῶν** Bk.; om. **τῶν** Emp. Turr. **τίνων . . ὑπαρχόντων** ci. R. Cb. — **ἑτέρ.ν** pr. — **ἐν τῇ γῇ** del. esse ci. R., **τὴν γῆν** ci. Dobr.; nomen terrae latere vidit Sl.; confer **ἦλθεν** (L.). — **ἐννενήκοντα** (corr. apogr.).

93. **τὴν βουλήν** c. Steph. Bk.: **τήν τε βουλήν** codd., **τήν τε β.** (**καὶ . . . .**) Ros. cf. autem Dem. Tim. § 144, Arist. *Πολ. Ἀθ.* 48, 1. — **καταλάβῃ** pr. — **ἐν τῷ ξύλῳ** Nab. Ros. — **ἐψηφίσασθε ἀπ'** c. R. Bk.: **ἀπεψηφ. ἀπ'**. — **χρῆσθαι** pr.

συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμένοις
94 χρῆσθε. Μέλητος δ' αὖ οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν
τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ
ἀπέθανεν ἐκεῖνος ἄκριτος· καίτοι οὗτος ὁ νόμος
καὶ πρότερον ἦν (καὶ) ὡς καλῶς ἔχων καὶ νῦν ἔστι,
καὶ χρῆσθε αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ
ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον. Μέλητον
τοίνυν τοῖς παισὶ τοῖς τοῦ Λέοντος οὐκ ἔστι φόνου
διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου
ἄρχοντος, ἐπεὶ ὥς γε οὐκ ἀπήγαγεν, οὐδ' αὐτὸς
95 ἀντιλέγει. Ἐπιχάρης δ' οὑτοσί, ὁ πάντων πονηρότατος καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν
αὐτὸς αὑτῷ, — οὗτος γὰρ ἐβούλευεν ἐπὶ τῶν τριάκοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; „ὃς ἂν ἄρξῃ ἐν
τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινεὶ
τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ τὰ
χρήματα ἔχειν τοῦ ἀποθανόντος.“ ἄλλο τι οὖν, ὦ
Ἐπίχαρες, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς
96 χεῖρας ἔσται, κατά | γε τὸν Σόλωνος νόμον; Καί
18 μοι ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης.

ΝΟΜΟΣ. Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. Αἰαντὶς ἐπρυ-

94. καίτοι Sl.: καί. — (καί) ὡς Bait. Turr.
95. οὑτοσί scr.: οὗτος. — ὁ δὲ νόμος] plebiscitum hoc adhibetur etiam a Lycurgo § 126 (ἡ ἐν τῷ βουλευτηρίῳ στήλη et § 127 τὸ ψήφ. τὸ Δημοφάντου); commemorat Demosthenes quoque (Lept. 159, ἡ Δημοφάντου στήλη). — νηποινεὶ restitui coll. Dem. Aristocr. 60 et tit. Amphipol. saec. IV (C. I. Gr. II 2008): νηποινί. — (ἡμίσεα) τὰ χρήμ. Stahl praeter necessitatem. — ἄλλο τι cum Cant. et R. Bk.: ἀλλ' ὅτι. — Ἐπίχαρες Valck. Sl.: Ἐπιχάρης. — ἢ νῦν] εἰ νῦν (corr. Ald.). — verba necessaria κατά . . νόμον del. Stahl. Num τοὺς Σόλ. νόμους, id ut pro nomine generali priorum legum sit? cf. 82.

τάνευε, Κλειγένης ἐγραμμάτευε, Βοηθὸς ἐπεστάτει. τάδε Δημόφαντος συνέγραψεν. ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι (οἱ) λαχόντες τῷ κυάμῳ, οἷς Κλειγένης πρῶτος ἐγραμμάτευεν. Ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινεὶ τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής. ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν 97
τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτενεῖν τὸν ταῦτα ποιήσαντα. ὁ δὲ ὅρκος ἔστω ὅδε· „κτενῶ καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ τῇ ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τινὰ ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν, καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ. καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τὸν Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. ἐάν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ ἢ 98

96. *Κλειγένης* L. (it. infra): *Κλεογ.* (v. C. I. Att. I, 188, 1). — *τάδε* del. Dr.; sed C. I. A. IV, 27ᵃ, 3 conf. L. — *οἱ* post *πεντακόσιοι* add. Bk. — *οἷς* Droysen coll. C. I. Att. I, 188, 1 (L.): *ὅτε.* — *καταλύει* et *ἄρχει* corr. Ald. — *καταλελυ . . μένης* pr. — *ἔστω* cum Steph. Bk.: *ἔσται.* — *νηποινεὶ* scripsi: *νηποινί.* v. ad § 95.

97. *ἀποκτενεῖν* Dr. L. (cf. 4, 3): *ἀποκτείνειν.* — *καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ* hic add. S. Turr. coll. Lyc. § 127, delentes eadem verba (praeter unum *καὶ*) post *ἀποκτείναντι.* Similiter iam Luzac. — *τινὰ* (*τιν'*) *ἀρχὴν* cum R. Turr.: *τὴν ἀρχήν.* — *καὶ ἐάν τις τυρ.*] ex vetere formula, v. Aristot. *Πολ. Ἀθ.* 16, 10. — *συγκαταστήσει* A (corr. apogr.). — *ἀποκτείνει* pr., *κτείνῃ* Dr. post h. v. Rud. Schöll (similiter Stahl) haec fere excidisse putat: (*αἰσθανόμενος, ἢ συμβουλεύσῃ ἀποκτεῖναι,*) *ὅσιον κτέ.* (. . . . . . L.); Dr. aliquid eiusmodi ante *ἐὰν δέ τις* (98) excidisse statuerat. — *τὸν Ἀθ.* scripsi cum Z (Li.): *τῶν Ἀθ.* — *κτείναντι* Dr. 98. *ἀποθάνοι* (corr. Ald.). —

ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ δήμῳ τῷ Ἀθηναίων, λύω καὶ ἀφίημι." ταῦτα δὲ ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων· καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

99 Πότερον, ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος, κύριος ὁ νόμος ὅδε ἐστὶν ἢ οὐ κύριος; διὰ τοῦτο δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. καὶ σὺ ζῇς καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν· ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δέ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι ὅσα
100 συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. εἶτα σὺ περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ καὶ κακῶς τινας λέγεις; ὃς ἑνὶ μὲν οὐχ ἡταίρησας — καλῶς γὰρ ἄν σοι εἶχε —, πρ(ι)αττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν βουλόμενον ἀνθρώπων, ὡς οὗτοι ἴσασιν, ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης, καὶ ταῦτα οὕτως μοχθηρὸς ὢν τὴν ἰδέαν. ἀλλ' ὅμως οὗτος ἑτέρων τολμᾷ κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ὑμετέρους

τῷ Ἀθ. Osann Spengel Dr.: τῶν Ἀθ. — διονύσων pr.
99. ἐπίτριπτον κίναδος est ap. Soph. Ai. 103. — οὐ κύριος; (οὐ κύριος·) ci. R. Ad δέ cf. 117. — (κατὰ) τὴν π. Frankius ad Aesch. 3, 213.
100. ἑταιρείας] cf. Harp.: ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδ. ἐν τῇ περὶ τ. μυστ. ἀπολογίᾳ. Immo ad hunc sensum Andoc. verbum detorquet, vulgari usu ab Epich. usurpatum. — ἑτέρων cum R. et Valck. Bk.: ἑταιρῶν. — οὕτω edit.: reduxit οὕτως L. — τολμᾷ ego ed. 1. L.: ἐτόλμα.

οὐδ' αὐτῷ ὑπὲρ αὐτοῦ ἔστιν ἀπολογεῖσθαι. ἀλλὰ 101
γὰρ ὦ ἄνδρες καθήμενος ἡνίκα μου κατηγόρει,
βλέπων εἰς αὐτὸν οὐδὲν ἄλλο ἢ ὑπὸ τῶν τριάκοντα
συνειλημμένος ἔδοξα κρίνεσθαι. εἰ γὰρ τότε ἠγωνι-
ζόμην, τίς ἂν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν,
εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν. ἀνέκρινε
δ' ἄν με τίς ἄλλος ἢ Χαρικλῆς, ἐρωτῶν, Εἰπέ μοι,
ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν, καὶ ἐπετείχισας
τῇ πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δέ; ἔτεμες
τὴν χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ θάλατταν
τοὺς πολίτας τοὺς σεαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυ-
μάχησας ἐναντία τῇ πόλει, οὐδὲ συγκατέσκαψας
τὰ τείχη, οὐδὲ συγκατέλυσας τὸν δῆμον, οὐδὲ βίᾳ
κατῆλθες εἰς τὴν πόλιν; Οὐδὲ τούτων πεποίηκα
οὐδέν. Δοκεῖς οὖν χαιρήσειν καὶ οὐκ ἀποθανεῖσθαι,
ὡς ἕτεροι πολλοί; Ἆρ' (ἂν) οἴεσθε ὦ ἄνδρες ἄλλων 102
τινῶν τυχεῖν με δι' ὑμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν;
οὐκ οὖν δεινόν, εἰ ὑπὸ μέν τούτων διὰ τοῦτ' ἂν
ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ
καὶ ἑτέρους ἀπέκτειναν, ἐν ὑμῖν δὲ κρινόμενος, οὓς
οὐδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; πάντως δή-
που· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων. Ἀλλὰ γὰρ 103
ὦ ἄνδρες τὴν μὲν ἔνδειξιν ἐποιήσαντό | μου κατὰ 14

101. *ἐπετείχισας* cum Steph. Bk.: *ἐπετείχισες*. — *τοὺς ἑαυτοῦ* A Kl. Turr. coll. § 114. — *οὐδὲ τούτων* Muret. Ros.: *οὐδὲν* (*ν* a corr.) *τούτων*. — interpungebatur *πεποίηκα. Οὐδέν;* — *καὶ οὐκ* Dobr.: *ἢ οὐκ*.

102. *ἆρ' (ἂν)* cum Dobr. Turr. — *δι' ὑμᾶς* R. Turr.: *δι' ἡμᾶς*. — *ἐν ἡμῖν* (corr. apogr.). — *οἷς οὐδὲν κακὸν πεπ.* Emp. h. e. „ideo quod", coll. Lys. 12, 40 (ubi tamen istud *οἷς* in *ὅτι* mutatum a Tayl. Turr.). — (*ἂν*) *ἄλλος*? L.

νόμον κείμενον, τὴν δὲ κατηγορίαν κατὰ τὸ ψήφισμα τὸ πρότερον γεγενημένον περὶ ἑτέρων. εἰ οὖν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία μαχεσαμένοις διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν εἵνεκα καὶ στήλας ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ ψηφίσματα ἐξηλείψατε· οἳ νυνὶ μένουσιν

104 *ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροὶ πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον*

105 *εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ μὲν εἰσόμενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης,*

103. (*τὸν*) *κείμ.* L. sec. § 70 (ubi *τὸν ν. τὸν κ.* est). — *προσήκῃ* Steph. — *μαχεσαμένοις* (ci. R.) L.: *-νοι.* — *ὁμόσατε* A (corr. apogr.). — *ἀτίμως* A (corr. apogr.). — *εἵνεκα* A Bk.: *ἕνεκα* (quod reduxit L.). — *καὶ τὰ ψηφίσμ.* corr. (pr. m. supra v.).

104. *προτέρων γεγενημένων* utrobique (corr. Steph.). — vv. *ἢ τίνα* — *γεγενημένων* del. Emp. Sed hoc dicit orator: nolent iudicium subire, potius urbem relinquent (105).

105. *ἀκροασάμενοι* pr. — *ὁμόσατε* (corr. apogr.). —

εἰ αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρινεῖ, πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν, ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.

Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν 106
εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφευγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν 107
ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τὴν βασιλέως, ἔγνωσαν τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους ποιήσασθαι. πράξαντες

(τοὺς μὲν) γράφ. Steph. W. (§ 38 conf. L.). — ψῆφ . . . . . κρίνει pr. (puto omissum erat δημοσίᾳ). — κρινεῖ cum Steph. Turr.: κρίνει.

106. βραχεῖα (corr. apogr.). — ἔφευγε ci. S.: ἔφυγε; cf. 107. — Χαρίου] Καλλίου Sl. p. 5 (coll. Herod. 6, 121), quod prob. Emp. — τῶν δὲ] τοὺς δὲ (corr. apogr.; cf. 32).

107. τὴν βασιλέως postulat Bk.: τοῦ βασ. cf. 3, 29. — φεύγοντας Turr.: φυγόντας. — πράξαντας (corr. apogr.). —

δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα
108 ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ τοιοῦτον ἐργασάμενοι, οὐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα, τὴν πόλιν ἀνάστατον παραλαβόντες ἱερά τε κατακεκαυμένα τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατηργάσαντο καὶ τὴν
109 πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί οὖν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας ὦ ἄνδρες ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ (καὶ) νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

διδόντες (corr. apogr.). — προστάξαντες pr. — νομίσαντες τὴν σφετέραν κτἑ.] cf. Thuc. 3, 56.

108. διὰ ταῦτα] μετὰ ταῦτα Bakius. — κατηργ. scripsi: κατειργ.

109. οὐκ post κακῶν om. pr. — ἐπίλοιπον Dobr. coll. § 87; sed cf. 3, 24. 32; 1, 52. — addidi (καὶ) ante νῦν (L.); ἡ νῦν pro ἃ ν. S. Emp.

Κατηγόρησαν | δέ μου καὶ περὶ τῆς ἱκετηρίας, 110
ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ, νόμος δ' εἴη
πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι.
καὶ οὕτως εἰσὶ τολμηροί, ὥσθ' ἃ αὐτοὶ κατεσκεύασαν,
οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ ἐπεβούλευσαν,
ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος.
ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ ἡ ἔνδειξις ἐγε- 111
γένητο, προσῄει (τοῖς πρυτάνεσιν) ὁ βασιλεὺς περὶ τῶν
γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ
ἔθος ἐστίν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν
πρὸς τὴν βουλήν, ἐπαγγεῖλαί τ' ἐκέλευον ἐμοί
τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ
βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος
νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν
ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ 112
προειρημένα. καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς
Καλλίας ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων λέγει
ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν
αὐτοῖς. καθ' ὁ κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν
καταθείη, καὶ οὐδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρέσταμεν,
καὶ οὗτος ἐμὲ ἑώρα. ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν,
ᾤχετο εἰσιών. ἐπεξελθὼν Εὐκλῆς οὑτοσί —

110. δ' εἴη Bk. Dobr.: δὲ ἦν.

111. τοῖς πρυτ. addidi post Kö., qui post ἔθος ἐστίν inseruit (L. scr. ἔθος ἐ., τοῖς πρυτάνεσιν, οἱ δὲ προσάξειν). — ἐπαγγεῖλαι Bk.: ἀπαγγεῖλαι — Κηφησίῳ (corr. apogr.).

112. προηρημένα (corr. apogr.). — καθ' Bk.: καθὰ. — παρέσταμεν Bk.: παρέστημεν (sed A fort. corr.). — ἐμὲ scripsi, ut οὗτος ad Cephisium referatur; subaudiendum est: minime tamen me indicavit. (L. ἐπεξελθὼν ex proximis translatum ante ἡμᾶς inserit.) — καὶ ante ᾤχ. om. pr. A

καί μοι κάλει αὐτόν. Πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.

ΜΑΡΤΥΡΙΑ.

113 *Ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ*
μοι δοκεῖ τὸ ἐναντίον εἶναι ἢ οἱ κατήγοροι εἶπον.
ἔλεξαν γάρ, εἰ μέμνησθε, ὅτι αὐτώ με τὼ θεὼ
παραγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα
τὸν νόμον, ἵνα δῶ δίκην. ἐγὼ δέ, ὦ ἄνδρες, εἰ
ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐ-
114 *τοῖν με φημὶ τοῖν θεοῖν σεσῶσθαι. εἰ γὰρ ἔθηκα*
μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο τι ἢ
αὐτὸς μὲν αὐτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν,
ἐσῳζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον
ὅτι διὰ τὼ θεώ; εἰ γὰρ ἐβουλέσθην με ἀπολλύναι
τὼ θεώ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκε-
τηρίαν ὁμολογῆσαι. ἀλλ' οὔτε ὑπήκουσα οὔτ' ἔθηκα.
115 *ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς ὑπα-*
κούοι, πάλιν ὁ Καλλίας (ἀνα)στὰς ἔλεγεν ὅτι εἴη νόμος

(add. m. 2) L. (*ὑπ., ᾤχ. εἰσιὼν Εὐκλ. οὑτοσί. καί κτέ.*). Subiectum ad *ᾤχ.* est *ὁ κῆρυξ*. De asyndeto v. ad 82. — Euclem ipsum *τὸν κήρυκα* esse statuit Kirchhoff Herm. I, 15 sqq., inscriptionibus (maxime C. I. A II, 73) probans revera illo tempore Euclem quendam praeconis munere apud senatum populumque functum esse. Delet igitur et ipse interpunct. quae erat post *καὶ ᾤχετο εἰςιών*. Ego de duobus praeconibus And. narrare puto, altero senatus, nempe Eucle, altero fortasse regis. Att. Ber. I², 318, 1. — *πρῶτον μὲν οὖν ταῦτα* est § 46; cf. 3, 10. — *ΜΑΡΤΥΡΙΑ* add. Ald., *ΜΑΡΤΥΡΕΣ* add. L.

113. *παραγάγοιεν* Dobr. Turr.: *περιαγάγοιεν*. — *με* post *αὐτοῖν* ci. R.: *μὲν*.

114. *εἰ γὰρ — τὼ θεώ* mg. (m. pr.).

115. *ἀναστὰς* mal. Bait. Hi. W. coll. § 112 (L.). —

πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ,
ἄκριτον ἀποθανεῖν, καὶ ὁ πατήρ ποτ' αὐτοῦ Ἱππο-
νικος ἐξηγήσαιτο ταῦτα Ἀθηναίοις, ἀκούσειε δὲ ὅτι
ἐγὼ θείην τὴν ἱκετηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέ-
φαλος οὑτοσὶ καὶ λέγει· „Ὦ Καλλία, πάντων ἀν- 116
θρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ Κηρύκων
ὤν, οὐχ ὅσιον (ὂν) σοι ἐξηγεῖσθαι· ἔπειτα δὲ νόμον
πάτριον λέγεις, ἡ δὲ στήλη παρ' ᾗ ἕστηκας χιλίας
δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν θῇ ἐν
τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας ὅτι Ἀνδο-
κίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ βουλῇ,
ἵνα καὶ ἡμεῖς ἀκούσωμεν.“ ἐπειδὴ δὲ ἀνεγνώσθη
ἡ στήλη κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου ἤκουσεν,
καταφανὴς ἦν τῇ βουλῇ αὐτὸς θεὶς τὴν ἱκετηρίαν.

Φέρε δή τοίνυν, ὦ ἄνδρες — τάχα γὰρ ἂν αὐτὸ 117
βούλοισθε πυθέσθαι —, ὁ δὲ Καλλίας τί βουλό-
μενος ἐτίθει τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσο-
μαι ὧν ὑπ' αὐτοῦ εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος
ἦν ὁ Τεισάνδρου θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς
τῆς ἐμῆς· ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀρρένων
παίδων, θυγατέρας δὲ δύο καταλιπών, αἳ ἐγίγνοντο
εἴς τε ἐμὲ καὶ Λέαγρον. τὰ δὲ πράγματα τὰ οἴκοι 118
πονήρως εἶχε· τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ

ἐξηγήσαιτο Dobr. Turr.: *ἐξηγήσατο.* — *ἐντεῦθεν*] *ἐνταῦθ'* postulat Bk.; def. vulg. Turr.

116. *κηρύκων ὢν* cum R. Turr.: *κηρύκων ὤν*; porro *ὂν* cum Frohb. addidi. — *ἤκουσεν* A L.: *-σε.* — in fine § excidisse *καί μοι κάλει τούτων τοὺς μάρτυρας* (vel simile quid). *ΜΑΡΤΥΡΕΣ* ci. Fuhr; adversatur W.

117. *βούλοισθε* Dobr. G. Hermann. Schi. Turr.: *βούλεσθε.* — *ἕνεκα* Li. — *Τεισάνδρου* scripsi: *Τισάνδρου.*

δυοῖν ταλάντοιν κατέλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων ἔλεγον, ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις δεικνύναι τὰς οἰκειό-
119 τητας ἀλλήλοις. „ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα οὔτ' εὐτυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε καταφρονῆσαι τῶν Ἐπιλύκου θυγατέρων. καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἠξιοῦμεν ἂν γένει ὄντες ἐγγυτάτω ἔχειν τὰς παῖδας. τοιγάρτοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν ἦν ἢ διὰ τὰ
16 χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν | τάδε ἔσται. τῆς μὲν οὖν σὺ ἐπιδικάζου, τῆς δὲ ἐγώ.“
120 ὡμολόγησέ μοι, ὦ ἄνδρες. ἐπεδικασάμεθα ἄμφω κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς μὲν ἐγὼ ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένη καμοῦσα ἀπέθανεν· ἡ δ' ἑτέρα ἔστιν ἔτι. ταύτην Καλλίας ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐὰν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι „εἰ μὲν σὺ βούλῃ ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ, εἰ δὲ μή,
121 ἐγὼ ἐπιδικάσομαι.“ γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ ἐπιδικάσωμαι ἐγώ. ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις, δοὺς Κηφισίῳ χιλίας δραχμὰς ἐνδείκνυσί με καὶ εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν. ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετη-

119. ἀνδρὸς (ἑτέρου) L. — ἀξιοῦμεν pr.?
120. Λεάγρῳ, (δευτέρῳ δ' ἐμαυτῷ)? — βούλῃ scr.: βούλει.

ρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον ἢ ἐξελῶν, αὐτὸς δὲ πείσας Λέαγρον χρήμασι συνοικήσων τῇ Ἐπιλύκου θυγατρί. ἐπειδὴ δ' (οὐδ') οὕτως ἄνευ ἀγῶ- 122
νος ἑώρα ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, Ἡγήμονα, Ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ καὶ χρωμένους, εἰς τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους, ὡς εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρός, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις δοῦναί μοι τῶν πεποιημένων. εἶπον αὐτῷ καὶ 123
κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν ἀποφεύξομαι καὶ γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ δίκαια, ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν ὦ ἄνδρες δοκῇ. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ᾧ λαχεῖν 124
ἠξίωσε τῆς Ἐπιλύκου θυγατρός, σκέψασθε πῶς γέγονε, καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ

121. *ἐξελῶν* cum Valck. Bk.: *ἐξελὼν*. — *πείσας* cum Scal. Valck. R. Bk. Bait. (*πείσων* — *καὶ συνοικ.* praef. S.): *πείσων*.

122. (*οὐδ'*) *οὕτως* R. (*οὐδ' ὣς* Bk.). cf. 3, 16. — *Ἡγήμονα* cum Valck. Turr.: *Ἡγεμόνα*. — *Ἐπιχάρη* Schi. (ci. R.): *Ἐπιχάρην*. — *μοι* om. pr. (sec. Li. *με* pr.).

123. *ἀποφεύξομαι* cum Valck. et R. Bk.: *ἀποφεύξαιμι*.

124. *γέγονε* A L.: *-εν*.

ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ' ἐνιαυτὸν τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός, καὶ εἶχεν
125 ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ τοῦ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γιγνόμενα, ἀπαγχομένη μεταξὺ κατεκωλύθη, καὶ ἐπειδὴ ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμένος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κυεῖν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν μὴ εἶναι ἐξ
126 αὐτοῦ τὸ παιδίον. λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθαι τὸν Καλλίαν. ὁ δ' ἠρώτα τίνος εἴη τὸ παιδίον· ἔλεγον „Καλλίου τοῦ Ἱππονίκου.“ „ἐγώ εἰμι οὗτος.“ „καὶ ἔστι γε σὸν τὸ παιδίον.“ λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν μὴ εἶναί (οἱ) υἱὸν ἄλλον μηδὲ γενέσθαι πώποτε, εἰ μὴ Ἱππόνικον ἐκ τῆς Γλαυκωνος θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν
127 οἰκίαν, ὥσπερ ἔσται. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυ-

125. κατεκωλύθη cum Sl. scripsi: κατεκλίθη (κατελήφθη Dobr.; κατελύθη Bait. Turr. L.). — ἀποδρᾶσα Bk.: ἀποδράσασα. — κυεῖν cum Kl. Turr.: κύειν.
126. ἧκον] ἦγον Steph. L. — ἱερεῖον] εἶο a corr.? (sec. L. m. pr., sed ο atram. nigriore). — οἱ post εἶναι cum Muret. R. add. Bk.

ναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ. ἀντεῖπε μὲν Καλλιάδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς, τὸν πατέρα ὀμόσαντα εἰσάγειν ἦ μὴν υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσίλλης γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

(ΜΑΡΤΥΡΕΣ.)

Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἰ πώ- 128
ποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν Ἐπιλύκου | θυγατέρα λαβεῖν, 17
ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ παιδὶ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ 129
ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ θεῖος.

127. *υἱὸν αὐτοῦ* Bait. Turr.: *υἱὸν αὐτοῦ.* — *μὲν* post *ἀντεῖπε* om. pr. — *Καλλιάδης* ci. Valck. et R. L.: *Καλλίδης.* — *ὅς ἐστιν αὐτοῖς* Bk.: *ὅ ἐστιν αὐτός.* — *ἑαυτοῦ . . ἄγειν* pr. — *βωμοῦ*] *βωμ* a corr. — *Χρυσίλλης* Jernstedt L. (C. I. Att. II, 758 B II, 38): *χρυσιάδης* (*Χρυσίδος* ci. R., *-ιάδος* v.). — *ΜΑΡΤΥΡΕΣ* add. Ald.

128. vv. *καὶ ἐξήλασε* — *θυγ.* in mg. — *παιδὶ* Dobr. (coll. 126 sq.), atque ita pr. A: *παιδίῳ.*

129. *οὕτος* om. pr.

τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

130 Ἀλλὰ γάρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων καὶ ηὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατεῖχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλειτήριον τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. μέμνησθε

131 ταῦτα, ὦ ἄνδρες. πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος υἱὸν τρέφειν ἀλειτήριον αὑτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. οὕτως οὖν χρὴ περὶ τούτου γιγνώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλειτηρίου.

132 Ἀλλὰ γάρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ τρία μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀ . . . . Δελφόν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον λῃτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστίοις, ἔπειτα ἀρχεθέωρον

130. εὖ γὰρ μέμνησθε Cob. — ηὐδαιμόνει L.: εὐδ. — ἁπάσῃ apogr.: ἅπασι. — κατεῖχεν scripsi (L.): κατέσχεν. — ἀλειτήριον scripsi (cf. ad 51): ἀλιτ.; sic etiam § 131.

132. malim ἐπιθεμένοις. — Ἀ . . . Δελφόν Bk.: ἀδελφόν (* τὸν Δ. Sl., * τὸν ἐκ Δελφῶν Luz.). — λῃτουργεῖν scripsi: λειτουργεῖν. — ἔπειτα (δ') Schaper de transitionis formulis, Bückeb. 1878, p. 32. — Ἡφαιστίοις codd., quod reduxit L.

εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά; ἐγὼ ὑμῖν ἐρῶ, διότι οὗτοι ταῦτα νῦν 133
γιγνώσκουσιν. Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγαθός, ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων, μετέσχον δ' αὐτῷ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λεύκην, οὓς ὑμεῖς ἴστε οἷοί εἰσιν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλουσι λαβεῖν ἀργύριον καὶ ὀλίγου πραθείσης μετασχεῖν. κερδήναντες δὲ ἓξ τάλαντα, 134
γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν (πάλιν) πάντες, καὶ μεταδόντες ἀλλήλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' οὐκ ἀντεωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. ἀπελάσας δὲ τούτους καὶ καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ

(v. C. I. A. II, 553, 11): Ἡφαιστείοις. — ἀρχεθέωρον L.: ἀρχιθ. — εἶτ. δὲ pr.

133. Ἀγύρριος Bk. (ci. R.): ἀ.γύρριος. — ἀρχώνης cum Valck. et R. Bk.: ἄρχων εἷς. — αὐτῷ cum R. Bk.: αὐτοί. — λεύκην οὓς cum Muret. Valck. R. Bk.: λεύκην τὸ πόσους. — ὑπερβάλλουσι Steph. Bk.: ὑπερβάλλωσι. — π.ραθείσης A.

134. κερδήναντες scr.: κερδάναντες. — ἓξ R.: τρία (ΙΙΙ ἕξ, ΙΙΙ τρεῖς. V. Boeckh oec. civ. Ath. I², 427). — vv. δ' οὐκ ἀντωνεῖτο . . ὑπερέβαλον (-λλον Ald.) a corr.; idem ἕως vocabuli primam litteram scripsit. Totidem fere litt. a pr. m. fuerant. — ὡς πολλοῦ ἄξιον del. Boeckh. — inserui πάλιν ante πάντες (hoc ut § 133). — ἀλλήλοις Bakius: τοῖς ἄλλοις. — ἀντεωνεῖτο L.: ἀντωνεῖτο. —

ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ
μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ
135 διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. ἃ οὗτοι γνόντες
ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι „ἄνθρωπος οὑτοσὶ
οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων οὔθ' ἡμᾶς
ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι
τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν ἂν ἡμῶν ἀδικοῦντα
λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τὸ Ἀθηναίων καὶ
ἀπολεῖ. δεῖ οὖν τοῦτον ἐκποδὼν ἡμῖν εἶναι καὶ
136 δικαίως καὶ ἀδίκως.“ ταῦτα μὲν οὖν, ὦ ἄνδρες
δικασταί, τούτοις ποιητέα ἦν, ὑμῖν δέ γε (τὸ) ἐναν-
τίον τούτων· ὡς γὰρ πλείστους εἶναι ὑμῖν ἤθελον
ἂν τοιοῦσδε οἷόσπερ ἐγώ, τούτους δὲ μάλιστα (μὲν)
ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας
αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς
καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βου-
λόμενοι δυνήσονται εὖ ποιεῖν ὑμᾶς. ἐγὼ οὖν ὑμῖν
ὑπισχνοῦμαι ἢ παύσειν τούτους ταῦτα ποιοῦντας
καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν κολά-
σειν τοὺς ἀδικοῦντας αὐτῶν.
137 Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν
18 καὶ περὶ τῆς ἐμπορίας, ὡς | ἄρα οἱ θεοὶ διὰ τοῦτό
με ἐκ τῶν κινδύνων σῴσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς

ἀλλὰ βραχεῖα pr. — ἀπεκερδήναμεν?
135. ἅνθρωπος scripsi: ἄνθρωπος. — καὶ ante ἐμποδών om. pr. (add. 2). — τὸ Ἀθ. Fuhr: τῶν Ἀθ. (quae del. Usener). — ἡμῖν Bk. (ci. R.): ὑμῖν.
136. γε τὸ ἐναντίον Valck. Sl. (τὸ ἐναντίον Bk.): γε ἐναντίον. — ὡς γὰρ scripsi: τοὺς γὰρ. — ὑμῖν cum R. Turr.: ἡμῖν. — τοιο .... δε pr. (sec. L. etiam. ἂν. pr.). — (μὲν) auct. R. add. Bk. — ποιεν. pr.
137. κατηγόρησαν δέ κτὲ.] cf. [Lys.] 5, 19. — σώσειαν L.

ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δὲ ὦ (ἄνδρες) Ἀθηναῖοι οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι· τίς γὰρ κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν τὴν θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμόν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐ-
σίας τῆς ἐμῆς, εἶτα ἔσῳζον; οὐκ ἐξῆν αὐτοῖς ποιῆ- 138
σαι μηδὲ ταφῆς τὸ σῶμα ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομένου καὶ τριήρων ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν, οὔσης δὲ χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκείαις ταῖς μεγίσταις περιέπεσον καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντες ἀπέθανον,
— εἶτα οἱ μὲν θεοὶ ἐκ τοσούτων κινδύνων ἔσῳ- 139
ζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι Κηφίσιον τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι οὐκ ὤν, ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν; ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πάνυ

138. *οὐκ ἐξῆν*] *οὐ πεζὴν* A, unde *οὔπερ ἐξῆν* Dobr., *οὗπερ ἦν* Turr. L. (*ὅτ' ἐξῆν* Muret. Ros.). — *αἰκείαις* scripsi: *αἰκίαις* (*ἀτυχίαις ταῖς μεγίσταις* Sl., *συμφοραῖς τ. μ.* Dobr., *κακοῖς τοῖς μεγίστοις* ego ed. I). — *αἰκισθέντες* cum Steph. Bk.: *αἰκισθέντα* (posterius *α* siglo scriptum; sec. L. *-ας*).

139. *πάνυ* ci. R. (cf. 5. 2, 22): *πολὺ* (*πολὺ μᾶλλον* ci. id.). —

ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σῳζομένους ὑπ' ἀνθρώπων ἀπολλυμένους ὁρῷεν.

140 Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον ὦ ἄνδρες ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι, οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως καὶ ὁμόνοιαν τῶν πολιτῶν. συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρός, μὴ μεταγνῶτε, μηδὲ βούλεσθε τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι.

141 Δέομαι οὖν ἁπάντων (ὑμῶν) περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, ἀναμνησθέντας αὐτῶν ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκα σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας,

ἀνθρώπων Hertl.: ἄλλων.

140. ὑμῖν] υ a corr. — ταῦθ' Steph.: τάθ'. — βούλεσθε cum R. Bk.: βουλεύεσθε.

141. ὑμῶν addidi cum R. — ἕνεκα scripsi: ἕνεκεν. — τῆς εἰς ὑμᾶς] τῆς εἰς ὑ et ᾶ a corr. (ῆς super τ additum est). —

καὶ ὅπως, εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένοιτο ἢ συμφορά, σῴζοιντο συγγνώμης παρ' ὑμῶν τυγχάνοντες. εἰκότως δ' ἂν αὐτῶν με- 142
μνῆσθε· καὶ γὰρ τῇ πόλει ἁπάσῃ αἱ τῶν ὑμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο. ἐπειδὴ γὰρ ὦ ἄνδρες αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ ὄντες σῴζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετάς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δη- 143
μοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ὑμετέρων ἀρετάς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἧσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε.

Σκέψασθε τοίνυν καὶ τάδε, ἄν με σώσητε, οἷον 144
ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου, ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην, ἔπειτα δὲ καινὸν βίον ἠργασάμην ἐκ τοῦ

post *εὐνοίας* spatium vacuum ut in fine sententiae, rasura nulla (inserui *εἶτα* ed. 2). — *γένοιτο* Dobr.: *γένηται* (*γενήσεται* Madvig Li.).

142. *μεμνῆσθε* Bk. Dobr.: *μεμνῆσθαι*. — *ὑμετέρων* ci. R.: *ἡμετέρων*. it. § 143. — *βουλομένων τῇ πόλει* pr.

143. *ὑμετέρων* ci. R.: *ἡμετέρων*. — *καί μοι* (corr. Ald.).

144. *μὲν* post *πρῶτον* om. pr. — *καινὸν* Emp. (s. *πάλιν*): *καὶ*. — *ἠργασάμην* scr.: *εἰργ*. —

δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτοῦ·
ἔτι δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως τοιαύτης πολί-
την εἶναι, εἰδότα δὲ οἷόν ἐστι ξένον εἶναι καὶ μέ-
145 τοικον ἐν τῇ τῶν πλησίον, | ἐπιστάμενον δὲ οἷον
19 τὸ σωφρονεῖν καὶ ὀρθῶς βουλεύεσθαι, ἐπιστάμενον
δ' οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγε-
νόμενος καὶ πλείστων πειραθείς, ἀφ' ὧν ἐμοὶ ξενίαι
καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις
καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται, ὧν ἐμὲ σώσαν-
τες μεθέξετε, καὶ ἔσται ὑμῖν χρῆσθαι τούτοις, ὅπου
146 ἂν ἐν καιρῷ τι ὑμῖν γίγνηται. Ἔχει δὲ καὶ ὑμῖν
ὦ ἄνδρες οὕτως· ἐάν με νυνὶ διαφθείρητε, οὐκ
ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου
οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι οὐκ
ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου
οἰκία οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ἦν ὄνειδος, ὅτ'
ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει.
οὐ γάρ ἐστιν ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν
τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν
147 παθὼν ὑπ' ἐκείνων, οἳ πλείστας μὲν στρατηγήσαν-
τες στρατηγίας πολλὰ τρόπαια τῶν πολεμίων καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ἀπέδειξαν, πλεί-
στας δὲ ἄλλας ἀρχὰς ἄρξαντες καὶ χρήματα διαχει-

τοῖν bis Marchant, cf. praef.

145. ante πολλοῖς vid. lacuna esse (ἔτι δὲ ὃς . . ?). — γεγένηται typothet. errore Bk. — ἔσται ci. Steph.: ἔστιν. — τι del. Cob.

146. ὑμετέρου pr. — οἴχεται πᾶν πρόρριζον] cf. Soph. El. 755. — ὄνειδος ἡμῖν (corr. apogr. vel Ald.). — οἰκί . . . . μετέραν pr.

ρίσαντες τὰ ὑμέτερα οὐδένα πώποτε ὧφλον, οὐδ' ἡμάρτηται οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῷ δεομένῳ. οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς εἰς ἀγῶνα ἀπήτησεν ὑμᾶς χάριν
τούτων τῶν ἔργων. μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, 148
καὶ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε, ἀλλ' ἀναμνησθέντες τῶν ἔργων νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῷσαι. τίνα γὰρ καὶ ἀναβιβάσωμαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν. ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσί. ἀλλὰ τοὺς παῖδας; ἀλλ'
οὔπω γεγένηνται. ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς 149
ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω καὶ ἀντιβολῶ καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σῴσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς (μὲν) καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν ἀγαθοῖς εἶναι καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε. μὴ δῆτα. ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι. ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι ἐγὼ δυνήσομαι

147. *οὐδὲν ἂν πώποτε*; del. *ἂν* Sl. Bk. — *ἥμαρτ* . . pr.
148. *περὶ* ante *πεπραγμ.* mal. abesse Turr. — *σῶσαι* del. Fuhr. coll. § 149. — *ἀναβιβάσ.μαι* pr. sec. L., unde *-σωμαι* (ut ipse conieci) L.: *-σομαι.* Etiam *αι δεησ* in rasura IV litt. capaci A. — *εἰσί* A L.: *-ίν.*
149. *ἐμοὶ* certe m. 1; utrum statim an addiderit postmodo parum refert. — *ὑμῶν*] *ὑμῖν* (corr. apogr.). — (*μὲν*) Cb. — *ἀνδρείους* pr. — *οἷς καὶ προσήκει* § 136. — *ἀπολλύναι* ci. R. Cb. — *ὥστ'*] *ὡς* Dobr. Li. — *ἀποστερεῖσθαι.*

ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ ὑμῖν μεταμελήσῃ, οὐδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ δ' ἔγωγε τούτους οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γιγνώσκουσι περὶ ἐμοῦ. Δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι.

2.

ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ.

1 Εἰ μέν, ὦ ἄνδρες, ἐν ἑτέρῳ τῳ πράγματι οἱ παριόντες μὴ τὴν αὐτὴν γνώμην ἔχοντες πάντες ἐφαίνοντο, οὐδὲν ἂν θαυμαστὸν ἐνόμιζον· ὅποι μέντοι δεῖ τὴν πόλιν ἐμέ τι ποιῆσαι ἀγαθόν, ἢ εἰ τις ἕτερος βούλοιτο ἐμοῦ κακίων, δεινότατον ἁπάντων χρημάτων ἡγοῦμαι, εἰ τῷ μὲν δοκεῖ ταῦτα τῷ δὲ μή, ἀλλὰ μὴ πᾶσιν ὁμοίως. εἴπερ γὰρ ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστι, καὶ τὰ 2 γιγνόμενα δήπου ἀγαθὰ τῇ πόλει κοινά ἐστι. τουτὶ τοίνυν τὸ μέγα καὶ δεινὸν πάρεστιν ὑμῖν ὁρᾶν τοὺς

150. ᾑρημένοι cum R. Bk.: εἰρημένοι.
Or. II. *Π. Τ. ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ*] περὶ τῆς ἀδείας Harp. s. v. ὀρρωδεῖν.
1. π . . ῆσαι pr. — ἕτερος R. Dobr. Turr.: ἑτέρως. — πολιτευομ.] ευο a corr. — κοινή del. Fuhr.

μὲν ἤδη πράττοντας, τοὺς δὲ τάχα μέλλοντας· καί μοι μέγιστον θαῦμα παρέστηκε, τί ποτε οὗτοι οἱ 20
ἄνδρες δεινῶς οὕτως περικάονται, εἴ τι ὑμᾶς χρὴ ἀγαθὸν ἐμοῦ ἐπαυρέσθαι. δεῖ γὰρ αὐτοὺς ἤτοι ἀμαθεστάτους εἶναι πάντων ἀνθρώπων, ἢ τῇ πόλει ταύτῃ δυσμενεστάτους. εἰ μέν γε νομίζουσι τῆς πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοί εἰσι τὰ ἐναντία νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· εἰ δὲ μὴ ταὐτὰ 3
ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ τῷ ὑμετέρῳ κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν· οἵτινες εἰσαγγείλαντός μου ἀπόρρητα εἰς τὴν βουλὴν περὶ τῶν πραγμάτων, ὧν ἀποτελεσθέντων οὐκ εἰσὶ τῇ πόλει ταύτῃ μείζονες ὠφέλειαι, καὶ τούτων ἀποδεικνύντος μου τοῖς βουλευταῖς σαφεῖς τε καὶ βεβαίους τὰς ἀποδείξεις, ἐκεῖ μὲν οὔτε τούτων τῶν ἀνδρῶν οἱ παραγενόμενοι ἐλέγχοντες οἷοί τ' ἦσαν ἀποδεῖξαι εἴ τι μὴ ὀρθῶς ἐλέγετο, οὔτ' ἄλλος οὐδείς, ἐνθάδε δὲ νῦν πειρῶνται διαβάλλειν. σημεῖον οὖν τοῦτο 4
ὅτι οὗτοι οὐκ ἀφ' αὑτῶν ταῦτα πράττουσιν — εὐθὺς γὰρ ἂν τότε ἠναντιοῦντο — ἀλλ' ἀπ' ἀνδρῶν ἑτέρων, οἷοί εἰσιν ἐν τῇ πόλει ταύτῃ, οὐδενὸς ἂν χρήματος δεξάμενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι.

2. παρέστηκε Bk. (ci. R.): περέστηκε. — περικάονται Schi. L.: -καίονται (περικναίονται Emp.). — εἰ μὲν γὰρ Valck.; cf. § 19. — malim τὰ ἴδια (τὰ) σφῶν αὐτῶν coll. 3, 36. — ἀμεθέστατοι.

3. malim περὶ πραγμάτων (ita Dobr.) s. περὶ τοιούτων πραγμάτων. — μεῖζους L. — ἐλέγχοντες Emp.: ἐλέγξοντες (ἐλέγξαντες cum Tayl. Turr.).

4. οὖν om. pr. (add. ead.). —

καὶ αὐτοὶ μὲν οὗτοι οἱ ἄνδρες οὐ τολμῶσι σφᾶς αὐτοὺς εἰς τὸ μέσον καταστήσαντες διισχυρίζεσθαι περὶ τούτων, φοβούμενοι ἔλεγχον διδόναι εἴ τι εἰς ὑμᾶς τυγχάνουσι μὴ εὖ φρονοῦντες· ἑτέρους δὲ εἰσπέμπουσι, τοιούτους ἀνθρώπους οἷς εἰθισμένοις ἤδη ἀναισχυντεῖν οὐδὲν διαφέρει εἰπεῖν τε καὶ
5 *ἀκοῦσαι τὰ μέγιστα τῶν κακῶν. τὸ δ' ἰσχυρὸν τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὰς ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν, καὶ ταῦτα ἐν εἰδόσι δήπου κάλλιον ὑμῖν, ὥστε μηδὲν ἂν τούτων δικαίως τιμὴν αὐτοῖς τινα φέρειν. ἐμοὶ δέ, ὦ ἄνδρες, καὶ τῷ πρώτῳ τοῦτο εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆσθαι, ὅτι πάντες ἄνθρωποι γίγνονται ἐπὶ τῷ εὖ καὶ κακῶς πράττειν, μεγάλη δὲ δήπου καὶ τὸ*
6 *ἐξαμαρτεῖν δυσπραξία ἐστί, καὶ εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα μεταγιγνώσκωσι. καὶ ταῦτα οὐ διακέκριται τοῖς μὲν γίγνεσθαι τοῖς δὲ μή, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς πρᾶξαι. ὧν ἕνεκα, ὦ (ἄνδρες) Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμοῦ γιγνώσκοιτε, εἴητε ἂν ἄνδρες εὐγνωμονέστεροι. οὐ γὰρ φθόνου μᾶλλον ἢ οἴκτου*
7 *ἄξιά μοί ἐστι τὰ γεγενημένα· ὃς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσδαιμονίας, εἴτε χρὴ εἰπεῖν νεότητι*

τῶν ante *κακῶν* om. pr. (add. m. 2 ut vid.).
5. (*τὸ*) *τὰς* mal. R. — *καὶ* ante *τῷ πρώτῳ* del. Emp.
6. *μεταγινώσκουσι* (corr. Ald.). — *καὶ* ante *κακῶς* om. pr. (add. m. 2). — *εἴτε* L.
7. Fort. cum Frohb.: *ἦλθον δυσδ.* — — *ἀνοίᾳ τῇ ἐμαυτοῦ*, cf. 10. —

τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με
ἐλθεῖν εἰς τοιαύτην σύμφορὰν τῶν φρενῶν, ὥστ᾽
ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν
θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς
ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν,
εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδι-
κοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι — ὅπερ ἀνάγκη
παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆ-
σαι —, ἢ κατειπόντι τὰ γεγενημένα αὐτὸν μὲν
ἀφεθέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ
φυνέα γενέσθαι. τί δ᾽ ἂν οὐ πρό γε τούτου τολ-
μήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν 8
παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ
χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην
τοῦ παρόντος τότε κακοῦ μετάστασιν. ἀναμνήσθητε
δὲ ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε,
καὶ ὅτι οὕτω σφόδρα σφᾶς αὐτοὺς ἐπεφόβησθε,
ὥστ᾽ οὐδ᾽ εἰς τὴν ἀγορὰν ἔτι ἐξῄτε, ἕκαστος
ὑμῶν οἰόμενος συλληφθήσεσθαι. ταῦτα τοίνυν ὥστε
μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι ἐγὼ μέρος
τῆς αἰτίας ηὑρέθην ἔχων. ὥστε μέντοι παυθῆναι,
ἐγὼ εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τό γε δυστυ- 9
χέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω, ὅτε δὴ
προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμ-
φορὰς οὐδεὶς ἐμοῦ ἤρχετο γίγνεσθαι δυσδαιμο-

βουληθέντα (corr. Ald.). cf. infra κατειπόντι. — ὀρρωδεῖν] cf. Harp. s. v.: ὀ. ἀντὶ τοῦ φοβεῖσθαι Ἀ. ἐν τῷ π. τ. ἀδείας. — δεῖ L.

8. ἐξῄτε L.: ἐξῄειτε. — ηὑρέθην L.: εὑρέθην.

9. ἤρχετο] ηὔχετο Emp.

νέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς ἁπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως
21 ἢ τῷ ἐμῷ αἰσχρῷ, | ὥστ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σῴζεσθαι. χάριν οὖν εἰκός με, οὐ μῖσος τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν.

10 Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφοράς, ᾧ τινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ [ὕστερον] εἰσῆλθέ μοι, ὥσπερ εἰκός, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ ἧς δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναί ποτέ μοι
11 πολιτεύεσθαι μεθ' ὑμῶν. ἐκ δὲ τούτου οὐ πώποτε οὔτε τοῦ σώματος οὔτε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐνθάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος τέμνεσθαί τε καὶ ἐξάγεσθαι ὁπόσους

10. ὕστερον in mg. add. A, deleri malit Fuhr (adversatur W.). — τῆς τότε μεθ' ci. R. — ἐκ. καὶ διαίτης: καὶ τῆς ἐκεῖ διαίτης (κόρος) (R.) Kayser L. perperam; nam μιμητικῶς A ea quae tum senserat reddit. — ἔγνω (corr. Ald.). — πολιτεύεσθαι vulg. ante Bk.: -εύσασθαι A (propter ἐργάσασθαι).
11. (τὴν) στρατιὰν mal. L. — τέμνεσθαι cum Dobr. Turr.: γενέσθαι. —

ἐβουλόμην. τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ ὅσου ἐμοὶ κατέστησαν, εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· καὶ οἱ 12
ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν αἴτια ὑμᾶς ἠργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως ταύτης τῆς αἰτίας ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῷσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ μηδὲ αὐτοὺς σωθῆναι. Τούτων 13
τοίνυν οὕτως ἐχόντων οὐκ ὀλίγῳ μοι παρὰ γνώμην ηὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. εὐθὺς δὲ παραστάς μοι 14
Πείσανδρος „ἄνδρες“ ἔφη „βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ κωπέας.“ καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. ἐν δὲ τῷ τότε τὰ

τούτους τε (*οὖν*) ci. R. — *ὅσου* A(?) Bk. (ci. R.): *ὅσον* (et. A?).
12. *πελοπονησίους.* — *αἴτια* scripsi: *ἄξια.* In vulg. ante Bk. etiam pro *τῆς αἰτίας* legebatur *τῆς ἀξίας.* — *ἠργάσαντο* scr.: *εἰργ.* — *ὁ κίνδ.* del. mal. S.
13. *ηὑρέθη* L.: *εὑρέθη.* — *ἕνεκα* L.
14. (*καὶ χαλκὸν*) *καὶ κωπέας* coll. § 11 Meier. —

νέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς ἁπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως
21 ἢ τῷ ἐμῷ αἰσχρῷ, | ὥστ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σῴζεσθαι. χάριν οὖν εἰκός με, οὐ μῖσος τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν.

10 Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφοράς, ᾧ τινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ [ὕστερον] εἰσῆλθέ μοι, ὥσπερ εἰκός, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ ἧς δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναί ποτέ μοι
11 πολιτεύεσθαι μεθ' ὑμῶν. ἐκ δὲ τούτου οὐ πώποτε οὔτε τοῦ σώματος οὔτε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐνθάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος τέμνεσθαί τε καὶ ἐξάγεσθαι ὁπόσους

10. *ὕστερον* in mg. add. A, deleri malit Fuhr (adversatur W.). — *τῆς τότε μεθ'* ci. R. — *ἐκ. καὶ διαίτης*: *καὶ τῆς ἐκεῖ διαίτης* (*κόρος*) (R.) Kayser L. perperam; nam *μιμητικῶς* A. ea quae tum senserat reddit. — *ἔγνω* (corr. Ald.). — *πολιτεύεσθαι* vulg. ante Bk.: *-εύσασθαι* A (propter *ἐργάσασθαι*).
11. (*τὴν*) *στρατιὰν* mal. L. — *τέμνεσθαι* cum Dobr. Turr.: *γενέσθαι*. —

ἐβουλόμην. τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ ὅσου ἐμοὶ κατέστησαν, εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· καὶ οἱ 12
ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν αἴτια ὑμᾶς ἠργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως ταύτης τῆς αἰτίας ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ μηδὲ αὐτοὺς σωθῆναι. Τούτων 13
τοίνυν οὕτως ἐχόντων οὐκ ὀλίγῳ μοι παρὰ γνώμην ηὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. εὐθὺς δὲ παραστάς μοι 14
Πείσανδρος „ἄνδρες“ ἔφη „βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ κωπέας.“ καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. ἐν δὲ τῷ τότε τὰ

τούτους τε (οὖν) ci. R. — ὅσου A(?) Bk. (ci. R.): ὅσον (et. A?).

12. πελοπονησίους. — αἴτια scripsi: ἄξια. In vulg. ante Bk. etiam pro τῆς αἰτίας legebatur τῆς ἀξίας. — ἠργάσαντο scr.: εἰργ. — ὁ κίνδ. del. mal. S.

13. ηὑρέθη L.: εὑρέθη. — ἕνεκα L.

14. (καὶ χαλκὸν) καὶ κωπέας coll. § 11 Meier. —

ἐναντία φρονοῦντες δῆλοι ἦσαν ἤδη οἱ ἐπὶ στρα-
15 τιᾶς ὄντες τοῖς τετρακοσίοις. κἀγώ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίγνετο τῶν βουλευτῶν, ἐπειδὴ ἐγιγνώσκον ἀπολούμενος, εὐθὺς προσπηδῶ πρὸς τὴν ἑστίαν καὶ λαμβάνομαι τῶν ἱερῶν. ὅπερ μοι καὶ πλείστου ἄξιον ἐγένετο ἐν τῷ τότε· εἰς γὰρ τοὺς θεοὺς ἔχοντα (τὰ) ὀνείδη οὗτοί με μᾶλλον τῶν ἀνθρώπων ἐοίκασι κατελεῆσαι, βουληθέντων τε αὐτῶν ἀποκτεῖναί με οὗτοι ἦσαν οἱ διασώσαντες. δεσμά τε ὕστερον καὶ κακὰ ὅσα τε καὶ οἷα τῷ σώματι ἠνε-
16 σχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. οὗ δὴ καὶ μάλιστ' ἐμαυτὸν ἀπωλοφυράμην· ὅστις τοῦτο μὲν ἐν ᾧ ἐδόκει ὁ δῆμος κακοῦσθαι, ἐγὼ ἀντὶ τούτου κακὰ εἶχον, τοῦτο δὲ ἐπειδὴ ἐφαίνετο εὖ ὑπ' ἐμοῦ πεπονθώς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπωλλύμην· ὥστε ὁδόν τε καὶ πόρον μηδαμῇ ἔτι εἶναί μοι εὐθαρσεῖν· ὅποι γὰρ τραποίμην, πάντοθεν κακόν τί μοι ἐφαίνετο ἑτοιμαζόμενον. ἀλλ' ὅμως καὶ ἐκ τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς οὐκ ἔστιν ὅ τι ἕτερον [ἔργον] περὶ πλείονος ἐποιούμην ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι.

17 Ὁρᾶν δὲ χρή, ὦ (ἄνδρες) Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα

ἤδη post ἦσαν om. pr.

15. ἐπειδὴ cum R. Turr.: καὶ ἐπειδὴ (def. Kal. p. 14 coll. Thuc. I, 72, 1). — ἐγένετο Emp.: ἐγίνετο. — ἔχοντα ὀνείδη οὗτοί με S. Turr. (inserui τὰ): εἶχον τὰ ὀν. οὗτοι, οἵ με.

16. τοῦτο μὲν] τούτῳ μὲν A (corr. apogr.). — εὖ add. Ald. — ἀπωλλύμην cum Bk. Dobr. L.: ἀπολοίμην ((εἰ) πάλιν .. ἀπολοίμην proposui in ed. 2). — ὅποι cum R. Bk.: ὅπου. — ἔργον A pr., ἕτερον add. m. 2; ἕτερον ἔργον del. S.; ἔργον delevi ed. I.

τῶν ὑπουργημάτων διαφέρει. τοῦτο μὲν γὰρ ὅσοι τῶν
πολιτῶν τὰ ὑμέτερα χρήματα διαχειρίζοντες ἀργύ-
ριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι ἢ τὰ ὑμέτερα ὑμῖν
διδόασι; τοῦτο δὲ ὅσοι στρατηγοὶ γενόμενοι καλόν
τι τὴν πόλιν κατεργάζονται, τί ἄλλο ἢ μετὰ τῆς τῶν
| ὑμετέρων σωμάτων ταλαιπωρίας τε καὶ κινδύνων, 22
καὶ ἔτι τῶν κοινῶν χρημάτων δαπάνης, ποιοῦσιν
ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι
ἐξαμάρτωσιν, οὐκ αὐτοὶ τῆς σφετέρας αὐτῶν ἁμαρ-
τίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις
ἡμαρτημένων. ἀλλ' ὅμως οὗτοι στεφανοῦνταί γε 18
ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται ὡς ὄντες ἄνδρες
ἀγαθοί. καὶ οὐκ ἐρῶ ὡς οὐ δικαίως· μεγάλη γάρ
ἐστιν ἀρετή, ὅστις τὴν ἑαυτοῦ πόλιν ὁτῳοῦν δύνα-
ται τρόπῳ ἀγαθόν τι ἐργάζεσθαι. ἀλλ' οὖν γιγνώ-
σκειν γε χρή, ὅτι ἐκεῖνος ἂν εἴη πολὺ πλείστου
ἄξιος ἀνήρ, ὅστις τοῖς ἑαυτοῦ παρακινδυνεύων χρή-
μασί τε καὶ σώματι τολμῴη ἀγαθόν τι ποιεῖν τοὺς
ἑαυτοῦ πολίτας.

Ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα 19
σχεδόν τι ἅπαντες ἂν εἰδεῖτε, τὰ δὲ μέλλοντά τε
καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν
ἀπορρήτῳ ἴσασιν, ἡ βουλή· οὓς πολλῷ δήπου εἰκὸς

17. χρήματα L.: πράγματα. — δαπανης A (Bk.), ης οἷς per compendium supra v. addito, unde B δαπαν, ceteri δαπανᾶν.

18. στεφανοῦνταί τε Sl. (cf. § 20). — γινώσκειν cum R. Bk.: τι γινώσκειν (alt. ι a m. 2). — πολλοῦ πλείστου pr. — τοῖς ἑαυτοῦ πολίταις pr. (corr. m. 2).

19. εἰδεῖτε L.: εἰδείητε. — ἡ βουλὴ del. Valck. L.; def. Scheibe. — εἰκὸς Ald.: εἰς. —

ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι ἀκούσαντάς
τι ἐν τῷ παραχρῆμα νῦν διαβουλεύσασθαι. οἱ μέν
γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων σκοποῦνται,
ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρτάνωσιν, αἰτίαν
ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν ἄλλων πολιτῶν·
ὑμῖν δὲ οὐκ εἰσὶν ἕτεροι ὑφ' ὧν αἰτίαν (ἂν) ἔχοιτε·
τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ
20 εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διαθέσθαι. ἅ γε μέντοι
ἔξω τῶν ἀπορρήτων οἷόν τέ μοί ἐστιν εἰπεῖν εἰς
ὑμᾶς ἤδη πεπραγμένα, ἀκούσεσθε. ἐπίστασθε γάρ
που ὡς ἠγγέλθη ὑμῖν ὅτι οὐ μέλλει ἐκ Κύπρου
σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ τοίνυν τοιοῦτός τε καὶ
τοσοῦτος ἐγενόμην, ὥστε τοὺς ἄνδρας τοὺς ταῦτα
βουλεύσαντας ἐφ' ὑμῖν καὶ πράξαντας ψευσθῆναι
21 τῆς αὐτῶν γνώμης. καὶ ὡς μὲν ταῦτα διεπράχθη,
οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τάδε (δὲ) νυνὶ βούλο-
μαι ὑμᾶς εἰδέναι, ὅτι αἱ (μὲν) μέλλουσαι νῆες ἤδη
σιταγωγοὶ καταπλεῖν εἰς τὸν Πειραιᾶ εἰσιν ὑμῖν
τέτταρες καὶ δέκα, αἱ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου
ἀναχθεισῶν ἥξουσιν ἀθρόαι οὐ πολὺ ὕστερον. ἐδεξά-
μην δ' (ἂν) ἀντὶ πάντων χρημάτων εἶναι ἐν ἀσφα-
λεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ
22 εἰσήγγειλα, ὅπως αὐτόθεν προῄδετε. νῦν δὲ ἐκεῖνα

τι post *ἀκούσαντας* del. mal. R. — *ἂν* post *αἰτίαν* cum Dobr. add. Turr.

20. *οἷόν τε* cum Steph. Bk.: *οἷόν γε*. — *ἠγγέλθη ὑμῖν* cum Valck. Turr.: *ἠγγ. ἡμῖν*. — (*ὁ*) *ἐκ Κ.* mav. L. — *αὐτῶν* Turr.: *αὐτῶν*.

21. *τάδε δὲ νυνὶ* mal. Gebauer (coll. 1, 9, et cf. infr. 26). — (*ἂν*) *ἀντὶ* cum Dobr. Turr. (*ἂν* pro *ἀντὶ* cum R. Bk.). — *προῄδετε* scripsi, *προῄδειτε* Bk.: *προειδῆτε*.

μὲν τότε ὅταν ἀποτελεσθῇ γνώσεσθε ἅμα καὶ ὠφεληθήσεσθε· νῦν δέ, ὦ (ἄνδρες) Ἀθηναῖοι, εἴ μοι βουληθεῖτε δοῦναι χάριν μικράν τε καὶ ἄπονον ὑμῖν καὶ ἅμα δικαίαν, πάνυ ἄν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. ὡς δὲ καὶ δικαία ἐστίν, εἴσεσθε. ἃ γάρ μοι αὐτοὶ γνόντες τε καὶ ὑποσχόμενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ' ὑμᾶς, εἰ μὲν βούλεσθε, αἰτῶ, εἰ δὲ [μὴ] βούλεσθε, ἀπαιτῶ. ὁρῶ δὲ ὑμᾶς πολλάκις καὶ δούλοις ἀνθρώ- 23 *ποις καὶ ξένοις παντοδαποῖς πολιτείαν διδόντας τε καὶ εἰς χρήματα μεγάλας δωρεάς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. καὶ ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε· οὕτω γὰρ ἂν ὑπὸ πλείστων ἀνθρώπων εὖ πάσχοιτε. ἐγὼ τοίνυν τοσοῦτον ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα ὃ Μενίππου εἰπόντος ἐψηφίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. ἀναγνώσεται δὲ ὑμῖν αὐτό· ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βουλευτηρίῳ.*

ΨΗΦΙΣΜΑ.

Τουτὶ τὸ ψήφισμα ὃ ἠκούσατε ψηφισάμενοί μοι, 24 *ὦ (ἄνδρες) Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε χάριν ἑτέρῳ φέροντες. πείθεσθε οὖν μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέστηκεν. εἰ γὰρ ὅσα οἱ ἄνθρωποι (τῇ) γνώμῃ ἁμαρ-*

22. *βουληθεῖτε* L.: *-είητε*. — *μὴ* ante *βούλεσθε* cum R. delendum videtur. *εἰ μ.β. ἀπαιτῶ, εἰ δὲ μὴ β. αἰτῶ* Dobr. cf. Plat. Prot. 348 A (Kühner-Gerth Synt. II, 486).

23. *παντοδαπῆς*: em. cum Steph. R. — *πολιτείαν* cum R. (qui etiam *πολ. τε διδ. καὶ* ci.) Turr.: *πολιτείας*. — *δωρειὰς* L. — *ἀναγέγραπται* Sl.

24. *τῇ γνώμῃ* scripsi: . . *γνώμῃ* A (. . . *ωμη* pr.?). —

τάνουσι, τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστιν, ἐμοῦ τὸ
μὲν σῶμα τυγχάνει ταὐτὸν ἔτι ὄν, ὅπερ τῆς αἰτίας
ἀπήλλακται, ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα
νυνὶ παρέστηκεν. οὐδὲν οὖν ἔτι ὑπολείπεται ὅτῳ
25 ἄν μοι δικαίως διαβεβλῆσθε. ὥσπερ δὲ τῆς τότε
ἁμαρτίας τὰ ἀπὸ τῶν ἔργων σημεῖα ἔφατε χρῆναι
πιστότατα ποιούμενοι κακόν με ἄνδρα ἡγεῖσθαι,
οὕτω καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ μὴ ζητεῖτε ἑτέραν
βάσανον ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν
26 γιγνόμενα. πολὺ δέ μοι προσήκει ταῦτα μᾶλλον
23 ἐκείνων καὶ τῷ γένει συνηθέστερά ἐστι. τάδε γὰρ
οὐ ψευσαμένῳ μοι λαθεῖν οἷόν τ' ἐστι τούς γε πρεσβυτέρους ὑμῶν, ὅτι ὁ τοῦ ἐμοῦ πατρὸς πάππος Λεωγόρας στασιάσας πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ δήμου, ἐξὸν αὐτῷ διαλλαχθέντι τῆς ἔχθρας καὶ γενομένῳ κηδεστῇ ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν τῆς πόλεως, εἵλετο μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου καὶ φεύγων κακοπαθεῖν μᾶλλον ἢ προδότης αὐτοῦ καταστῆναι. ὥστ' ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως ὑπάρχει δημοτικῷ εἶναι, εἴπερ τι ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. ὧν καὶ ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρηστὸς ὢν ἀνὴρ εἰς ὑμᾶς φαίνωμαι, προθυμότερόν μου ἀποδέχεσθαι τὰ πράτ-
27 τόμενα. τὸ δὲ δόντας ἐμοὶ τὴν ἄδειαν ἀφελέσθαι

ἐμοῦ τὸ μὲν cum R. Bk.: ὁμοῦ τὸ μὲν. — ταὐτὸν ἔτι ὂν Bk. (ταὐτὸν ὂν ci. R.): τοῦτ' ἂν αἴτιον. — διαβεβλῆσθε Bk.: διαβεβλῆσθαι.

25. ἡγεῖσθε (corr. Ald.). — ζητῆτε (corr. apogr.).

26. πατρὸς πάππος cum Valck. Turr.: πατρὸς πρόπαππος. cf. 1, 106. — αὐτοῦ Ros. L.: αὐτῶν. — ἀλλὰ νῦν γε Bk.: ἄλλο νῦν γε.

ὑμᾶς, εὖ ἴστε ὅτι οὐδεπώποτε ἠγανάκτησα· ὅπου
γὰρ ὑπὸ τῶν ἀνδρῶν τούτων αὐτοὶ εἰς ὑμᾶς αὐ-
τοὺς ἐπείσθητε τὰ μέγιστα ἐξαμαρτεῖν, ὥστε ἀντὶ
τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι, ἐκ δημοκρατίας
δυναστείαν καταστήσαντες, τί ἂν τις ὑμῶν θαυμά-
ζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξαμαρτεῖν; βου- 28
λοίμην μέντ' ἄν, ὥσπερ ἐν τοῖς ὑμετέροις αὐτῶν
πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε, τὰς τῶν ἐξα-
πατησάντων ὑμᾶς ἀκύρους ἔθετε βουλάς, οὕτω καὶ
ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνεπιτήδειον,
ἀτελῆ τὴν γνώμην αὐτῶν ποιῆσαι, καὶ μήτε ἐν
τούτῳ μήτε ἐν ἑτέρῳ τῳ τοῖς ὑμῶν αὐτῶν ἐχθί-
στοις ὁμόψηφοί ποτε γένησθε.

3.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ πολλὰ δὲ Λακεδαιμονίων ὑπομεινάντων καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστι καὶ Ἀνδοκίδης. τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥστε εἴσω τεσσαράκοντα ἡμερῶν ἔτι βουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκί-

27. θαυμάζει (corr. Ald.).
Or III. Π. Τ. ΠΡΟΣ ΛΑΚ. ΕΙΡΗΝΗΣ] tit. hab. A post argum., Q alia manu; περὶ τῆς εἰρήνης Harp. et vit. § 13. — ΥΠΟΘ.: τοῦ ἑξῆς add. A, om. argum. Q. — ἔτι βουλ. scripsi (cf. 34): ἐπιβουλ. (βουλεύσ. S.). —

δης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· κεφάλαιον τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους ἀνελθεῖν μὴ πείσαντος τοῦ Ἀνδοκίδου· ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

1 Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν ἢ πολεμεῖν, δοκεῖτέ μοι ὦ (ἄνδρες) Ἀθηναῖοι πάντες γιγνώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις ἀφ' ὧν ἂν ἡ εἰρήνη γένοιτο ἐναντιοῦνται, τοῦτο δ' οὐ πάντες αἰσθάνεσθε. λέγουσι γὰρ ὡς ἔστι δεινότατον τῷ δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν οὖσα πολιτεία μὴ
2 καταλυθῇ. εἰ μὲν οὖν μηδεπώποτε πρότερον ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά τε τὴν ἀπειρίαν τοῦ ἔργου διά τε τὴν ἐκείνων ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην ἐποιήσασθε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ γὰρ ὦ (ἄνδρες) Ἀθηναῖοι τεκμηρίοις χρῆσθαι τοῖς πρό-
3 τερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. Ἡνίκα

δὲ post *κεφάλαιον* add. v. ante Bk. (Dobr.). — *ἐπανελθεῖν* Reiskiana. — *διόνυσος* A (corr. apogr.).

1. *ἂν εἰρήνη* Q, *ἡ εἰρ.* A, *ἂν ἡ εἰρ.* L., *ἡ εἰρ. γ.* (*ἂν*) Dobr. — *ἐναντιοοῦνται* A.

2. *τῶν* ante *Ἀθ.* del. Spengel W., item 4. 10. — *ἐφοβώμεθα* Q. — *ἤδη* om. Q. — *ἐποιήσασθε* cum R. Turr.: *ἐποιήσατε.* — vv. *χρὴ γὰρ* — *ἔσεσθαι* affert Clem. Alex. Str. VI p. 747 (om. *ὦ Ἀθ.*), et inde Theodoret. Serm. VI p. 581 A. — *γεγενημένοις* Fuhr. (*τοῖς προγεγενημ.* Theodor.).

3. Hunc totum locum (§§ 3—9) omissis quibusdam vel mutatis in suum usum convertit Aeschin. 2 § 172—176. —

τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐβοίᾳ, Μέγαρα
δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροζῆνα, εἰρήνης ἐπεθυ-
μήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμέ-
νον. καὶ ὄντα ἐν Χερρονήσῳ κατεδεξάμεθα δι᾽ αὐτὸ
τοῦτο, πρόξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαι-
μεν εἰς Λακεδαίμονα προκηρυκευσόμενον περὶ σπον-
δῶν. καὶ τότε ἡμῖν εἰρήνη ἐγένετο πρὸς | Λακεδαι- 4
μονίους ἔτη πεντήκοντα, καὶ ἐνεμείναμεν ἀμφότε- 24
ροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἓν δὴ
τοῦτο, ὦ (ἄνδρες) Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν
ταύτῃ τῇ εἰρήνῃ ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων ἔσθ᾽
ὅπου κατελύθη; οὐδεὶς ἀποδείξει. ἀγαθὰ δὲ ὅσα
ἐγένετο διὰ ταύτην τὴν εἰρήνην ἡμῖν, ἐγὼ φράσω.
πρῶτον μὲν τὸν Πειραιᾶ ἐτειχίσαμεν ἐν τούτῳ τῷ 5
χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ
τῶν τριήρων αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι,
αἷς βασιλέα καὶ τοὺς βαρβάρους καταναυμαχήσαντες
ἠλευθερώσαμεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν
νεῶν ἑκατὸν τριήρεις ἐναυπηγησάμεθα, καὶ πρῶτον
τότε τριακοσίους ἱππέας κατεστησάμεθα, καὶ τοξότας
τριακοσίους Σκύθας ἐπριάμεθα. [καὶ] ταῦτα ἐκ

nonne *ὁ ἐν Εὐβοίᾳ*? — *Παγασὰς* Q. cf. Harp.: *Πηγαί· Ἀ. ἐν τῷ περὶ εἰρήνης, εἰ γνήσιος.* — *Τροζῆνα* L.: *Τροιζῆνα.* — *Κίμωνα τὸν Μιλτιάδου* et ap. Andoc. et ap. Aesch. restitui vol. Mitford. (ap. Dobr.) et Kirchner. — *πέμψαιεν* A, *πέμψωμεν* Q. — *ἐς* A (*εἰς* Li.). — *τῶν* pro *περὶ* Q.

4. *πεντήκοντα* cum Aesch. Tayl. (Turr.): *πέντε*, quod tuentur Dobr. L. coll. Thuc. 1, 112. — *πρῶτον* ante *ὦ* Q. — alterum *ὁ* om. Q. — *ἐγένετο* post *εἰρ.* Q. — *ἡμῖν ἐγὼ* Q: *ἐγ. ἡμῖν* A, *ἐ. ὑμῖν* vulg.; fort. *ἡμῖν, ἐγὼ ὑμῖν*, cf. 1, 8.

5. *τότε* post *Πειρ.* add. A Bk. (om. L.). — *καὶ τοὺς βαρβ.* Q (L.): *καὶ βαρβ.* — *ἐλευθερώσαμεν* A. — *ἱππέας* L.: *ἱππεῖς.* — *κατεστήσαμεν* Fuhr. coll. § 7. Aesch. 2, 174. — *τοξότας* (quod om. Aesch.) mal. abesse S. — *καὶ* ante *ταῦτα*

τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῷ Ἀθηναίων ἐγένετο.

6 Μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν, καὶ πολλὰ κακὰ παθόντες πολλὰ δὲ ποιήσαντες ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης, καὶ ᾑρέθησαν δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. οὗτοι ἡμῖν εἰρήνην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί δέ; πράττοντές τινες δήμου κατάλυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει.

7 ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τὸν Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες χίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλήσαμεν ἐξαίρετα εἶναι τῷ δήμῳ, τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας ἑτέρους τοσούτους κατεστήσαμεν, καὶ τὸ τεῖχος τὸ

delevi coll. § 7. — τότε post ταῦτα add. W. — τῷ δήμῳ om. pr. A. — τῷ Ἀθην. Spengel, W.: τῶν Ἀθ. item § 7.

6. αἰγηνίτας A. — κατεστήσαμεν pr. A. — μὲν post πολλὰ addi malit R. — ᾑρέθησαν Q (cum Steph. R.): εὑρέθησαν A. — ὑμῖν A Turr. (cf. § 4). — ἐποίησαν auct. Bk. Turr.: ἐποιήσαντο

7. ἡ om. Q. — τὸν Ἀθηναίων Bk. W.: τῶν Ἀθηναίων A Q. — ἦρεν Q. — εἰρήνην ἄγοντες R. L. — χίλια τάλ. ἀνην. Q L. (Aesch.): ἀν. χ. τάλ. — κατεκλήσαμεν scripsi κατεκλείσαμεν. — νεωσοίκους] cf. Harp. s. v. νεώρια (Ἀνδ. ἐν τῷ π. τ. εἰρ., εἰ γνήσιος ὁ λόγος). — ἑτέρους τοσούτους Q L. (Aeschin.): τοσ. ἑτ. — ταύτης ante τῆς add. Q L. —

μακρὸν τὸ νότιον ἐτειχίσθη. ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῷ Ἀθηναίων ἐγένετο. Πάλιν δὲ 8
διὰ Μεγαρέας πολεμήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατηργάσατο. οἶμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τριακοσίας ἐκτη- 9
σάμεθα, καὶ φόρος προσήει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

Πρῶτον μὲν οὖν ὦ (ἄνδρες) Ἀθηναῖοι τούτου ἀνα- 10
μνήσθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. ἄλλο τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων κατελύθη; οὐκοῦν ἀποδέδεικται. καὶ οὐδεὶς ἐξελέγξει με ὡς οὐκ ἔστι ταῦτ' ἀληθῆ. ἤδη δέ τινων ἤκουσα λεγόντων, ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν, πολλοί τε Ἀθηναίων κώνειον

post *ἐτειχίσθη* add. Aesch.: *καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι.* — *τῷ Ἀθ.*] v. ad § 5.
8. vel *αὖθις* vel *τὴν* del. Ydén. — *ἐστερησάμεθα* pro *ἐποι.* Q. — *κατειργ.* A Q. — *νομίσμ.* post *ἀκρόπ.* Q.
9. *τριακοσίας* cum Markl. ex Aesch. Turr.: *τετρακοσίας.* cf. Thuc. 2, 13.
10. *ἐξελέγξει* cum Tayl. Sl. Turr.: *ἐξελέγχει.*

11 *πιόντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. ὁπόσοι*
οὖν ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γιγνώσκουσιν· εἰρήνη
γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν·
εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους
ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς
δ', ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους
τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν
κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν
ἡμῖν καὶ (τὰ) τείχη καθαιρεῖν καὶ τὰς ναῦς παρα-
12 *διδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. τότε*
μὲν οὖν σπονδαὶ κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων
25 *ἐγένοντο, νῦν δὲ | περὶ εἰρήνης βουλεύεσθε. σκέ-*
ψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἅ τε ἡμῖν ἐν
τῇ στήλῃ γέγραπται, ἐφ' οἷς τε νῦν ἔξεστι τὴν
εἰρήνην ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται τὰ τείχη
καθαιρεῖν, ἐν δὲ τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς
ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ' ὁπόσας ἂν βου-
λώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκῦρον τότε
μὲν ἔχειν τοὺς (ἐξ ἀρχῆς) ἔχοντας, νῦν δὲ ἡμετέρας
εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπάναγκες οὐδένα
καταδέχεσθαι, τότε δ' ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος
κατελύθη. τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον
οὖν ἔγωγε ὦ (ἄνδρες) Ἀθηναῖοι διορίζομαι περὶ τού-
των, τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύ-

11. *εἰρήνην μὲν γὰρ κτέ.*] cf. Aesch. § 176, Isocr. 4, 176; 6, 51. — *κρατήσωσιν* A L. — *τὰ τείχη* cum R. Bk.: *τείχη* cf. 12. 31.

12. vv. *ἐφ' οἷς — γέγραπται* in mg. add. A. — *μὲν γὰρ γέγρ.* Q (ut vid.) L. — *τὰ τείχη* ABZ Bk. (ci. R.): *τείχη*. — *σκίρρον* A pr., *σκίρον* corr. (it. § 14). — *ἐκεῖνος* A Q (corr. Ald.). — *δὲ* om. Q. — *δήμου* cum Canter. Schi. Turr.: *δήποτ*.

ναμιν, τὸν δὲ πόλεμον δήμου κατάλυσιν γίγνεσθαι. περὶ μὲν οὖν τούτων ταῦτα λέγω.

13 *Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν· σκεψώμεθα οὖν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ πολεμήσωμεν. οἶμαι γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἀδικουμένοις. ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα, Βοιωτοῖς τε ἀδικουμένοις ἐβοηθοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακεδαιμονίων, τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην ἀφιεῖσιν Ὀρχομενὸν αὐτόνομον, τίνος ἕνεκα πολεμήσωμεν;* 14 *ἵνα ἡ πόλις ἡμῶν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει. ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; ἔστι καὶ ταῦτα ἐκ τῆς εἰρήνης. ἀλλ' ἵνα τριήρεις ἐξῇ ναυπηγεῖσθαι καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι ποιοῦσιν. ἀλλ' ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαρρήδην γέγραπται ταύτας Ἀθηναίων εἶναι.* 15 *φέρε, ἀλλὰ Χερρόνησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ' οὔτε βασιλεὺς οὔτε οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ' ὧν αὐτὰ δεῖ πολεμοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακε-*

13. *ὦ* om. A (ex Q add. L.). — *γὰρ*] . . A pr.; item *πάντας ἀνθρώπ* a corr. (. . . . . pr.). — *ἀδικουμένους*] *ἠδικημένους* pr. A, *ἀδικοῦντας* Q. — *ἀδικουμένοις* (post *βοηθ.*) Q: *ἠδικημένοις*. — *ἀφιεῖσιν* scripsi (cf. 20. 23; *ἀφεῖσιν* R.): *ἀφήσειν*.

14. *ἡμῖν* om. Q. — *σκίρρον* pr. A ut 12, *σκίρον* corr. — *οὔκουν . . εἶναι;* Kal.

15. *ἐγκτήματα* Valck. R.: *ἐγκλήματα*. — *ἀπολαύωμεν* A. — *δεῖ*] *δὲ* Q pr. —

δαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ' οἴ μοι δοκοῦμεν οὕτω παρεσκευάσθαι. ἐὰν δ' ἄρα κατεργασώμεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν
16 βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν ἱκανά, τοῖς δὲ σώμασιν ἦμεν δυνατοί, οὐδὲ οὕτως ἔδει πολεμεῖν. εἰ δὲ μήτε δι' ὅ τι μήτε ὅτοισι μήτε ἀφ' ὅτου πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;

17 Σκέψασθε δ' ὦ (ἄνδρες) Ἀθηναῖοι καὶ τόδε, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν ποιεῖτε. ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας, τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, νῦν δ' αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον
18 τούτων ὑπάρχει. καὶ οὐχ ὑφ' ἡμῶν ἀναγκαζόμενοι ταῦτ' ἀφιᾶσιν, ἀλλ' ἐπ' ἐλευθερίᾳ πάσης τῆς Ἑλλάδος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι, τοτὲ μὲν ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους παρόντας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ' ἐν τῷ κρατιστεύειν μόνοι πάντων, αὖθις δ' ἐν

δοκοῦμεν (R.) Q: δοκεῖ. — παρασκευάσθαι pr. A.
16. ὑπῆρχε μὲν ἱκ. Q. — ὅτοις Q. — πολεμήσομεν Steph. L.
17. τῶν ante πόλ. om. Q.
18. ὑμῶν A. — τῆς om. Q. — τοτὲ μὲν S.: τότε μὲν. cf. Voemel. ad Dem. Phil. 3, 58. — ἀλλ' ἢ τὸ κρ. Luz., ἀλλὰ τῷ? Dobr. (qui tamen conf. Soph. OC. 495), ἀλλ' ἢ τῷ Linder. ἀλλ' (ἢ) ἐν τῷ L. — δ' ἐν Βοιωτοῖς S. Turr.: δὲ βοιωτοῖς. —

Βοιωτοῖς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν τρόπον καὶ τότε τὴν νίκην ἐποιήσαντο, τρίτον δ' ἡνίκα Λέχαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας.
19 *τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι τοῖς Ἕλλησι, τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι τὴν ἑαυτῶν ἔχοντες, οἳ ἐνίκων μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ μίαν μόνον μάχην ἡττήθησαν;*
20 *Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν δὲ | τεθνεώτων μὲν* 26 *αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται, πολεμήσαντες δ' ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφιέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην ἄγειν. οὗτοι δ' αὖ τούτῳ (τῷ) τρόπῳ τὸν πόλεμον καταλύονται.*
21 *ἡμῖν δὲ ὦ (ἄνδρες) Ἀθηναῖοι πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι; ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας; καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται παραιτοῦμαι· τὰ γὰρ ὄντα λέξω. πρῶτον μὲν γὰρ ἡνίκα ἀπω-*

καὶ τότε Sl. Turr.: *καὶ ὅτε*. 19. *τοῖς Ἕλλησι* add. Q L. — *εἰσὶν* om. Q. — *εἰ μὴ μ . . .* (om. *μόνον*?) A pr.

20. *μὲν* post *τὸν* om. Q. — *τετμημένης* A pr. — *ἀφιέντες* scripsi: *ἀφέντες*. cf. 23. (13). — *ταῦτα* om. Q. — *τῷ* post *τούτῳ* om. A Q, add. apogr.

21. *τὰ* add. Ald. (*ἀχθ.* (*παραιτ. γὰρ*) *τὰ ὄντα λ.* Kalinka). — malim (*τὰς*) *ἐν Ἑλλ.* coll. Isocr. 7, 64. —

λέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τειχήρεις
ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ ἡμῶν οἱ νῦν
μὲν ἡμέτεροι τότε δὲ Λακεδαιμονίων ὄντες σύμμα-
χοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν
χώραν ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ
γενέσθαι τίνες ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν
συμμάχους ἀποτρέψαντες τῆς γνώμης, αὐτοὶ δ' οὐδ'
ἐπιχειρήσαντες διαβουλεύσασθαι περὶ τοιούτων ἔρ-
22 γων; μετὰ δὲ τοῦτο ὅρκους ὀμόσαντες αὐτοῖς καὶ
τὴν στήλην εὑρόμενοι (παρ') αὐτῶν στῆσαι, κακὸν
ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν
ἐπὶ ῥητοῖς. εἶτα δὲ συμμαχίαν ποιησάμενοι Βοιω-
τοῖς καὶ Κορινθίους ἀποστήσαντες αὐτῶν, Ἀργείους
δὲ ἀγαγόντες εἰς τὴν ποτὲ φιλίαν, αἴτιοι τῆς ἐν
Κορίνθῳ μάχης ἐγενόμεθα αὐτοῖς. τίνες δὲ βασι-
λέα πολέμιον αὐτοῖς ἐποίησαν, καὶ Κόνωνι τὴν
ναυμαχίαν παρεσκεύασαν, δι' ἣν ἀπώλεσαν τὴν
23 ἀρχὴν τῆς θαλάττης; ὅμως τοίνυν ταῦτα πεπον-
θότες ὑφ' ἡμῶν συγχωροῦσι ταῦτα ἅπερ οἱ σύμμα-
χοι, καὶ διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ
τὰς νήσους ἡμῶν εἶναι. ποίαν τιν' οὖν χρὴ εἰρή-
νην πρεσβεύοντας ἥκειν; οὐ ταῦτα παρὰ τῶν πολε-
μίων εὑρομένους, ἅπερ οἱ φίλοι διδόασι, καὶ δι'
ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν γένηται τῇ
πόλει, ταῦτα; οἱ μὲν τοίνυν ἄλλοι τὴν εἰρήνην

ἡμῶν Bait.: ὑμῶν. — γεγέσθαι A.
22. παρ' add. Ald. — Βοιωτοῖς scr. coll. § 25: Βοιωτούς. — ἀγαγόντες om. Q (in fine versus). — ποτὲ] πρότερον Osann (ego ed. I.). — ἑαυτοῖς πολέμιον Q pr. — ναυαρχίαν Emp., ναυκρατίαν Linder (v. frg. 2). 23. πρεσβεύοντες pr. Q. — ταὐτὰ ἅπερ et ταὐτὰ παρὰ cum Osann. Bait. L. — εὑρομένους AB R. Bk.: εὑρομένοις. — πόλει, ταῦτα mal. S.: πόλει ταῦτα. —

οιοῦνται τῶν ὑπαρχόντων ἀφιέντες, ἡμεῖς δὲ
ρoςλαμβάνοντες αὐτὰ ὧν μάλιστα δεόμεθα.
Τί οὖν ἐστιν ὑπόλοιπον περὶ ὅτου δεῖ βουλεύε- 24
θαι; περὶ Κορίνθου καὶ περὶ ὧν ἡμᾶς Ἀργεῖοι προκα-
ιῦνται. πρῶτον μὲν περὶ Κορίνθου διδαξάτω μέ τις,
οιωτῶν μὴ συμπολεμούντων, εἰρήνην δὲ ποιουμένων
ὸς Λακεδαιμονίους, τίνος ἐστὶν ἡμῖν ἀξία Κόρινθος.
ιαμνήσθητε γὰρ ὦ (ἄνδρες) Ἀθηναῖοι τῆς ἡμέρας ἐκεί- 25
ης, ὅτε Βοιωτοῖς τὴν συμμαχίαν ἐποιούμεθα, τίνα
ιώμην ἔχοντες ταῦτα ἐπράττομεν. οὐχ ὡς ἱκανὴν
ὖσαν τὴν Βοιωτῶν δύναμιν μεθ' ἡμῶν γενομένην
ιινῇ πάντας ἀνθρώπους ἀμύνασθαι; νῦν δὲ βου-
υόμεθα, Βοιωτῶν εἰρήνην ποιουμένων πῶς δυ-
ιτοὶ Λακεδαιμονίοις πολεμεῖν ἐσμεν ἄνευ Βοιω-
ῶν. ναί, φασί τινες, ἂν Κόρινθόν τε φυλάττω- 26
ιν καὶ συμμάχους ἔχωμεν Ἀργείους. ἰόντων δὲ
ακεδαιμονίων εἰς Ἄργος πότερον βοηθήσομεν
ὐτοῖς ἢ οὔ; πολλὴ γὰρ ἀνάγκη ὁπότερον τούτων
ἑσθαι. μὴ βοηθούντων μὲν οὖν ἡμῶν οὐδὲ λόγος
τολείπεται μὴ οὐκ ἀδικεῖν καὶ ποιεῖν (ἂν) Ἀρ-
ίους ὁποῖον ἄν τι βούλωνται δικαίως· βοηθούν-
ων δὲ ἡμῶν εἰς Ἄργος οὐχ ἕτοιμον μάχεσθαι Λα-
δαιμονίοις; ἵνα ἡμῖν τί γένηται; ἵνα ἡττώμενοι

ὑπαρχότων A. — αὐτὰ A² Q mg.: αὐτῶν pr. A, αὐτὸν Q text.
24. περὶ Κορίνθου ante καὶ περὶ add. Q L. — ἡμᾶς Dobr.
: ἂν ἡμ. (αὖ ἡμ. G. Hermann Turr., ego ed. 1. 2). — τις, et
ρινθος. Kalinka: τις· et K.; — προσκαλοῦνται A Q, corr.
ͻgr. (R. Dobr.).
25. βουλευώμεθα A Turr. (ego ed. 1. 2). — πολεμεῖν ἐσ-
ν Λακ. Q.
26. ὄντων A Q (ἰόντων Ald.). — βοηθήσωμεν Q. — τού-
ν] τοῦτον Q. — ὑμῶν A (ἡμ. ci. Bait.). — καὶ ποιεῖν (ἂν) Ἀργ.
ipsi (similiter iam Sl. Dobr. Bait.): Ἀργείους καὶ ποιεῖν. —

μὲν καὶ τὴν οἰκείαν χώραν ἀπολέσωμεν πρὸς τ
Κορινθίων, νικήσαντες δὲ τὴν Κορινθίων Ἀργεία
27 ποιήσωμεν. οὐχ ἕνεκα τούτων πολεμήσομεν; Σκεψώ
μεθα δὴ καὶ τοὺς Ἀργείων λόγους. κελεύουσι γὰ
ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ μετὰ Κορινθίων πολε
μεῖν, αὐτοὶ δ' ἰδίᾳ εἰρήνην ποιησάμενοι τὴν χώρα
οὐ παρέχουσιν ἐμπολεμεῖν. καὶ μετὰ μὲν πάντω
τῶν συμμάχων τὴν εἰρήνην ποιουμένους οὐκ ἐῶσι
ἡμᾶς οὐδὲν πιστεύειν Λακεδαιμονίοις· ἃ δὲ πρὸ
τούτους μόνους ἐκεῖνοι συνέθεντο, ταῦτα δ' οὐδεπώ
ποτ' αὐτούς φασι παραβῆναι. πατρίαν τε εἰρήνη
ὀνομάζοντες ᾗ χρῶνται, τοῖς [δὲ] ἄλλοις Ἕλλησι
27 οὐκ ἐῶσι πατρίαν | γενέσθαι τὴν εἰρήνην· ἐκ γὰ
τοῦ πολέμου χρονισθέντος Κόρινθον ἑλεῖν προσ
δοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ' ὧν ἀεὶ κρα
τοῦνται, καὶ τοὺς συννικῶντας ἐλπίζουσι παραστή
σεσθαι.

28 Τοιούτων δ' ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖ
θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λακε
δαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην ποιή
σθαι. ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ (ἄνδρες
Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττο
φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα, κ
πόλεμον ποιούμεθα δι' ἑτέρους, ἐξὸν δι' ἡμ
29 αὐτοὺς εἰρήνην ἄγειν· οἵτινες πρῶτον μὲν βασιλ

ἀπωλέσομεν A. — ποιήσομεν A Q (corr. apogr.). — πο
μήσωμεν A Q (corr. Ald.).
27. ἐμπολεμεῖν] ἐμ a corr. habet A, ἐν, πολεμεῖν Q. ·
ποιουμένους R.: ποιουμένοις (Bk. Turr.). — Λακεδαιμονίο
pr. Q. — ταῦτα δ' Q L.: ταῦτ'. cf. 34. — φησὶ A. — πατρί
τε Q: π. δὲ. cf. 7. 9. 30. 33. (39.) 40. — δὲ ante ἄλλοις del. R.B
— συνικῶντας Q. — ἐλπίζουσι παραστήσεσθαι cum R. Bk.: ἐλπ
ζουσιν ἀποστήσεσθαι. 28. μάλιστα om. Q. — ἡρούμεθα Q ca

ῷ μεγάλῳ — χρὴ γὰρ ἀναμνησθέντας τὰ γεγενημένα καλῶς βουλεύσασθαι — σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν Ἐπίλυκος Τεισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, (μετὰ) ταῦτα Ἀμόργῃ πειθόμενοι τῷ δούλῳ τῷ βασιλέως καὶ φυγάδι τὴν μὲν βασιλέως δύναμιν ἀπεβαλόμεθα ὡς οὐδενὸς οὖσαν ἀξίαν, τὴν δὲ Ἀμόργου φιλίαν εἱλόμεθα, κρείττω νομίσαντες εἶναι· ἀνθ' ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν, σύμμαχος γενόμενος Λακεδαιμονίοις, παρέσχεν αὐτοῖς εἰς τὸν πόλεμον πεντακισχίλια τάλαντα, ἕως κατέλυσεν ἡμῶν τὴν δύναμιν. ἓν μὲν βούλευμα τοιοῦτον ἐβουλευσάμεθα· Συρακόσιοι δ' ὅτε ἦλθον ἡμῶν δεόμενοι, φιλότητα μὲν ἀντὶ διαφορᾶς ἐθέλοντες εἰρήνην δ' ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμαχίαν ἀποδεικνύντες ὅσῳ κρείττων ἡ σφετέρα εἴη τῆς Ἐγεσταίων καὶ Καταναίων, εἰ βουλοίμεθα πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς τοίνυν εἱλόμεθα καὶ τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ Συρακοσίων, στρατεύεσθαι δ' εἰς Σικελίαν ἀντὶ τοῦ μένοντες οἴκοι συμμάχους ἔχειν Συρακοσίους· ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες ἀριστίνδην καὶ τῶν συμμάχων, πολλὰς

29. *γὰρ* bis scripsit Q. — num (*περὶ τῶν παρόντων*) *καλῶς βουλεύσασθαι*? — *Τεισάνδρου* scripsi: *Τισάνδρου* (*ὁ Τ(ε)ισάνδρου* cum Bait. L., sicut est 1, 117). — (*μετὰ*) *ταῦτα* ci. R., *εἶτα* Sl. — *τῷ βασ.* postul. Bk.: *τοῦ βασ.* A et ut vid. Q. cf. 1, 107. — *ἀπεβαλλόμμεθα* Q. — *οὐδενὸς* cum R. Bk.: *οὐδὲν*. — *οἷς κατέλυσαν* Sl. (*κατέλυσαν* mal. etiam R.).

30. *Συρρακούσιοι* ubique pr. A, *Συρακ.* corr. et Q., *Συρακόσιοι* L. — *τῆς Ἐγ. καὶ Κ.* Fuhr.: *τῶν Ἐ.* (*Ἐγεστέων* A pr.) *καὶ τῶν Κ.* (*τῆς τῶν* mal. R.). — *βουλοίμεθα* Bk. cum R.: *βουλόμεθα* A Q. — *μὲν* post *πόλ.* om. Q. — *εἱλόμεθα* repetivit Q² supra Συρ. et post *στρα*| in mg. — *μένοντες* scripsi cum Li.: *μένοντας*.

δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντε
31 αἰσχρῶς διεκομίσθησαν οἱ σωθέντες αὐτῶν. ὕστε
ρον δ' ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν ἥκου
πείθοντες πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴ
εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους ἐκτεῖνα
τὸν θυμόν, ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμή
σαντες ἠναγκάσθημεν τὰ τείχη κατασκάπτειν κα
τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας κατα
δέχεσθαι. ταῦτα δὲ πασχόντων ἡμῶν οἱ πείσαντε
ἡμᾶς πολεμεῖν Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχο
ἡμῖν; τίνα δὲ κίνδυνον ὑπὲρ [τῶν] Ἀθηναίω
32 ἐποιήσαντο; νῦν οὖν τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖ
πόλεμον μὲν ἑλέσθαι καὶ νῦν ἀντ' εἰρήνης, τὴν δ
συμμαχίαν τὴν Ἀργείων ἀντὶ τῆς Βοιωτῶν, Κορινθίω
δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν ἀντὶ Λακεδαιμονίω
μὴ δῆτα, ὦ (ἄνδρες) Ἀθηναῖοι, μηδεὶς ἡμᾶς ταῦτ
πείσῃ· τὰ γὰρ παραδείγματα τὰ γεγενημένα τῶ
ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπω
ὥστε μηκέτι ἁμαρτάνειν.
33 Εἰσὶ δέ τινες ὑμῶν οἳ τοσαύτην ὑπερβολὴν τῆ
ἐπιθυμίας ἔχουσιν εἰρήνην ὡς τάχιστα γενέσθα
φασὶ γὰρ καὶ τὰς τετταράκονθ' ἡμέρας ἐν αἷς ὑμ
ἔξεστι βουλεύσασθαι περίεργον εἶναι, καὶ τοῦτο ἀδ
κεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακ
δαίμονα διὰ ταῦθ', ἵνα μὴ πάλιν ἐπαναφέρωμε

31. οἵπερ (καὶ) νῦν Emp. — ἥκοντες πείθουσι Q. — οὔσης ἡμῖν Q. — ἐκτεῖναι] ἐκείνων κινεῖν ci. R., κινεῖν αὐτ Sl., ἐκκαλεῖν αὐτῶν ego ed. I, ἐκφῆναι s. ἐκθεῖναι Emp ἐντεῖναι (αὐτῶν) L. — πεί . . . τες A pr. (corr.²). — ἡμᾶ ὑμᾶς corr. A, om. pr. A (negat L.), nescio an recte. — τῶ ante Ἀθ. del. Pertz. Fuhr. 32. ἡμῖν et μὲν om. Q. — τὴν ante Ἀργ. add. Q L. — πείσει A.
33. ἡμῶν Q. — τεταράκονθ' A. — ὑμῖν Bk. Dobr.: ἡμῖ — βουλεύσασθαι Q: -εσθαι. cf. § 40 et argum. or. — δ ταῦθ' cum R. Turr.: διὰ ταύτην (διὰ τοῦθ' L.). —

τήν τε ἀσφάλειαν ἡμῶν τῆς ἐπαναφορᾶς δέος ὀνομάζουσι, λέγοντες ὡς οὐδεὶς πώποτε τὸν δῆμον τὸν Ἀθηναίων ἐκ τοῦ φανεροῦ πείσας ἔσωσεν, ἀλλὰ δεῖ λαθόντας ἢ ἐξαπατήσαντας αὐτὸν εὖ ποιῆσαι. τὸν λόγον οὖν τοῦτον οὐκ ἐπαινῶ. φημὶ γάρ, ὦ (ἄν- 34
δρες) Ἀθηναῖοι, πολέμου μὲν ὄντος ἄνδρα στρατηγὸν τῇ πόλει τε εὔνουν εἰδότα τε ὅ τι πράττοι, λανθάνοντα δεῖν τοὺς πολλοὺς τῶν ἀνθρώπων καὶ ἐξαπατῶντα ἄγειν ἐπὶ τοὺς κινδύνους, εἰρήνης δὲ πέρι πρεσβεύοντας κοινῆς τοῖς Ἕλλησιν, ἐφ' οἷς ὅρκοι τε ὀμοσθήσονται στῆλαί τε σταθήσονται γεγραμμέναι, ταῦτα δὲ οὔτε λαθεῖν οὔτε ἐξαπατῆσαι δεῖν, ἀλλὰ πολὺ μᾶλλον ἐπαινεῖν ἢ ψέγειν, εἰ πεμφθέντες αὐτοκράτορες ἔτι ἀπέδομεν ὑμῖν | περὶ τῶν 28
αὐτῶν σκέψασθαι. βουλεύσασθαι μὲν οὖν ἀσφαλῶς χρὴ κατὰ δύναμιν, οἷς δ' ἂν ὀμόσωμεν καὶ συνθώμεθα, τούτοις ἐμμένειν. οὐ γὰρ μόνον, ὦ (ἄνδρες) 35
Ἀθηναῖοι, πρὸς γράμματα τὰ γεγραμμένα δεῖ βλέποντας πρεσβεύειν ἡμᾶς, ἀλλὰ καὶ πρὸς τοὺς τρόπους τοὺς ὑμετέρους. ὑμεῖς γὰρ περὶ μὲν τῶν ἑτοίμων ὑμῖν ὑπονοεῖν εἰώθατε καὶ δυσχεραίνειν, τὰ δ' οὐκ ὄντα λογοποιεῖν ὡς ἔστιν ὑμῖν ἕτοιμα· κἂν μὲν πολεμεῖν δέῃ, τῆς εἰρήνης ἐπιθυμεῖτε, ἐὰν δέ τις ὑμῖν τὴν εἰρήνην πράττῃ, λογίζεσθε τὸν πόλεμον

τοῦ δήμου Q. — *τὸν Ἀθ.* Spengel: *τῶν Ἀθ.* — *ἀλλὰ δεῖν* Valck. — *λαθ. καὶ ἐξαπατ.* Hi. coll. 34.

34. *ὅ,ττι* Q. — *πράττῃ* Ydén Hertlein L. — *ἐπὶ*] *παρὰ* Q. — *τοὺς* ante *κινδύνους* om. pr. A (add.[a]). — *πρεσβεύοντα* Q. — *ἐξαπατῆσαι δεῖ* pr. A. — *ἔτι* ci. R.: *τι* (om. Q L.). cf. argum. or. — *ἀπέδομεν* scripsi: *ἀποδώσομεν* (*ἀποδίδομεν* L.). — *ἡμῖν* A Q. — *τῶν* ante *αὐτῶν* add. Q. — *ἀσφαλῶς* om. Q.

35. *ἡμετέρους. ἡμεῖς* Q. — *μὲν* om. Q. — *ἔστιν ἡμῖν* Q. — *τις ἡμῖν* A. — *τὴν* ante *εἰρ.* del. Dobr. — *λογίζεσθ[...]* A Q pr. — *ἡμῖν* A. —

36 ὅσα ἀγαθὰ ὑμῖν κατηργάσατο. ὅπου καὶ νῦν ἤδη
τινὲς λέγουσιν οὐ γιγνώσκειν τὰς διαλλαγὰς αἵτι-
νές εἰσιν, τείχη καὶ νῆες εἰ γενήσονται τῇ πόλει·
τὰ γὰρ ἴδια τὰ σφέτερ' αὐτῶν ἐκ τῆς ὑπερορίας
οὐκ ἀπολαμβάνειν, ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι
σφίσι τροφήν. ἀναγκαίως οὖν ἔχει καὶ πρὸς ταῦτ'
ἀντειπεῖν.
37 Ἦν γάρ ποτε χρόνος, ὦ (ἄνδρες) Ἀθηναῖοι, ὅτε τείχη
καὶ ναῦς οὐκ ἐκεκτήμεθα· γενομένων δὲ τούτων
τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. ὧν εἰ καὶ
νῦν ἐπιθυμεῖτε, ταῦτα κατεργάσασθε. ταύτην δὲ
λαβόντες ἀφορμὴν οἱ πατέρες ἡμῶν κατηργάσαντο
τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη
πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας,
τὰ δὲ λαθόντες, τὰ δὲ πριάμενοι, τὰ δὲ βιασάμε-
38 νοι· πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν
κοινῶν χρημάτων Ἑλληνοταμίας, καὶ τὸν σύλλογον
τῶν νεῶν παρ' ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων
τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν·
λαθόντες δὲ Πελοποννησίους τειχισάμενοι τὰ τείχη·
πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τού-
των δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν
τῶν Ἑλλήνων κατηργασάμεθα. καὶ ταῦτα τὰ ἀγαθὰ
39 ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένετο. κρα-

κατηργάσατο scr.: κατειργ. (it. 37. 38).
36. εἰσί, τείχη] εἰστείχη Q. 37. οὐκ ἐκεκτήμεθα Hi.: οὐκεκτήμεθα A Q, οὐκ ἐκτήμεθα Bk. (ego ed. I.). — γενομένων δέ, ταύτην ἀρχὴν Hi. — κατεργάσασθαι Q pr.
38. Ἑλληνοτ.] cf. Harp. (Ἀ. ἐν τῷ π. τ. εἰρήνης, εἰ γνήσιος). — μὴ κέκτ.] μὲν κέκτ. Q. — λαθόντας et Πελοποννησίους pr. A. — τειχισάμενοι Emp.: ἐτειχίσαμεν. — malim ἐναντιουμένους. — ἐγένοντο Q.

ϑέντες δὲ τῷ πολέμῳ τά τε ἄλλα πάντα ἀπωλέσαμεν,
ὶ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα
ακεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καϑε-
όντες, ὅπως μὴ πάλιν ταύτην ἔχοντες ἀφορμὴν
ύναμιν τῇ πόλει κατασκευάσαιμεν. πεισϑέντες τοί-
ν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέ-
εις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόν-
ς, καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσϑαι, τάς
νήσους ἡμετέρας εἶναι. τὴν αὐτὴν τοίνυν ἀρχὴν 40
αϑῶν λαμβάνοντας, ἥνπερ ἡμῶν ἐλάμβανον οἱ
όγονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην
νὲς εἶναι. παριόντες οὖν αὐτοὶ διδασκόντων ὑμᾶς
ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσϑέν-
ς τετταράκοντα ἡμέρας βουλεύσασϑαι — τοῦτο
ν τῶν γεγραμμένων εἴ τι τυγχάνει μὴ καλῶς
ον· ἔξεστι γὰρ ἀφελεῖν· τοῦτο δ' εἴ τίς (τι) προσ-
ῖναι βούλεται, πείσας ὑμᾶς προσγραψάτω. πᾶσί
τοῖς γεγραμμένοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν.
δὲ μηδὲν ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. καὶ 41
ῦτ' ἐφ' ὑμῖν πάντ' ἐστίν, ὦ (ἄνδρες) Ἀϑηναῖοι· τού-
ν ὅ τι ἂν βούλησϑε ἕλεσϑε. πάρεισι μὲν γὰρ Ἀρ-
ῖοι καὶ Κορίνϑιοι διδάξοντες ὡς ἄμεινόν ἐστι
λεμεῖν, ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς
ρήνην ποιήσασϑαι. τούτων δ' ἐστὶ τὸ τέλος παρ'

39. πάντα add. Q L. — καϑελόντες . . παραλαβόντες Q L; ς μὲν R.: τὰ μὲν (sic et τὰς δὲ L.). — ταύτην Hi.: ταῦτ'. 37. — νῦν Q. — τὰς δὲ A Q (corr. apogr.).
40. διδ. ἡμᾶς A. — γεγραμένων A. — προϑέντες mal. R. εἴ τι Ald.: ἔτι A Q. — εἴ (τί) τις mal. Turr.; εἴ τις πρ.) Sl. (ut ego L.). — ἡμᾶς A. 41. ἐφ' ἡμῖν A. — βού-σϑε Q. — ἕλεσϑε vulg. ante Turr.: ἑλέσϑαι A Q. — ιήσεσϑαι A (ποιήσασϑαι ut Q Steph.). —

36 ὅσα ἀγαθὰ ὑμῖν κατηργάσατο. ὅπου καὶ νῦν ἤδη
τινὲς λέγουσιν οὐ γιγνώσκειν τὰς διαλλαγὰς αἵτι-
νές εἰσιν, τείχη καὶ νῆες εἰ γενήσονται τῇ πόλει·
τὰ γὰρ ἴδια τὰ σφέτερ' αὐτῶν ἐκ τῆς ὑπερορίας
οὐκ ἀπολαμβάνειν, ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι
σφίσι τροφήν. ἀναγκαίως οὖν ἔχει καὶ πρὸς ταῦτ'
ἀντειπεῖν.

37 Ἦν γάρ ποτε χρόνος, ὦ (ἄνδρες) Ἀθηναῖοι, ὅτε τείχη
καὶ ναῦς οὐκ ἐκεκτήμεθα· γενομένων δὲ τούτων
τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. ὧν εἰ καὶ
νῦν ἐπιθυμεῖτε, ταῦτα κατεργάσασθε. ταύτην δὲ
λαβόντες ἀφορμὴν οἱ πατέρες ἡμῶν κατηργάσαντο
τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη
πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας,
τὰ δὲ λαθόντες, τὰ δὲ πριάμενοι, τὰ δὲ βιασάμε-
38 νοι· πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν
κοινῶν χρημάτων Ἑλληνοταμίας, καὶ τὸν σύλλογον
τῶν νεῶν παρ' ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων
τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν·
λαθόντες δὲ Πελοποννησίους τειχισάμενοι τὰ τείχη·
πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τού-
των δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν
τῶν Ἑλλήνων κατηργασάμεθα. καὶ ταῦτα τὰ ἀγαθὰ
39 ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένετο. κρα-

κατηργάσατο scr.: κατειργ. (it. 37. 38).
36. εἰσί, τείχη] εἰστείχη Q. 37. οὐκ ἐκεκτήμεθα Hi.: οὐκεκτήμεθα A Q, οὐκ ἐκτήμεθα Bk. (ego ed. I.). — γενομένων δέ, ταύτην ἀρχὴν Hi. — κατεργάσασθαι Q pr.
38. Ἑλληνοτ.] cf. Harp. (Ἀ. ἐν τῷ π. τ. εἰρήνης, εἰ γνήσιος). — μὴ κέκτ.] μὲν κέκτ. Q. — λαθόντας et Πελοποννησίους pr. A. — τειχισάμενοι Emp.: ἐτειχίσαμεν. — malim ἐναντιουμένους. — ἐγένοντο Q.

θέντες δὲ τῷ πολέμῳ τά τε ἄλλα πάντα ἀπωλέσαμεν, ἰ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα ικεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καθε-ντες, ὅπως μὴ πάλιν ταύτην ἔχοντες ἀφορμὴν ναμιν τῇ πόλει κατασκευάσαιμεν. πεισθέντες τοί-ν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέ-εις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόν-;, καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσθαι, τὰς νήσους ἡμετέρας εἶναι. τὴν αὐτὴν τοίνυν ἀρχὴν 40 αθῶν λαμβάνοντας, ἥνπερ ἡμῶν ἐλάμβανον οἱ όγονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην ιὲς εἶναι. παριόντες οὖν αὐτοὶ διδασκόντων ὑμᾶς ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσθέν-; τετταράκοντα ἡμέρας βουλεύσασθαι — τοῦτο ν τῶν γεγραμμένων εἴ τι τυγχάνει μὴ καλῶς ον· ἔξεστι γὰρ ἀφελεῖν· τοῦτο δ' εἴ τίς (τι) προσ-ῖναι βούλεται, πείσας ὑμᾶς προσγραψάτω. πᾶσί τοῖς γεγραμμένοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν. δὲ μηδὲν ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. καὶ 41 ῦτ' ἐφ' ὑμῖν πάντ' ἐστίν, ὦ (ἄνδρες) Ἀθηναῖοι· τού-ιν ὅ τι ἂν βούλησθε ἕλεσθε. πάρεισι μὲν γὰρ Ἀρ-ῖοι καὶ Κορίνθιοι διδάξοντες ὡς ἄμεινόν ἐστι ιλεμεῖν, ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς ρήνην ποιήσασθαι. τούτων δ' ἐστὶ τὸ τέλος παρ'

39. πάντα add. Q L. — καθελόντες . . παραλαβόντες Q L; ς μὲν R.: τὰ μὲν (sic et τὰς δὲ L.). — ταύτην Hi.: ταῦτ'. . 37. — νῦν Q. — τὰς δὲ A Q (corr. apogr.).
40. διδ. ἡμᾶς A. — γεγραμένων A. — προθέντες mal. R. · εἴ τι Ald.: ἔτι A Q. — εἴ (τί) τις mal. Turr.; εἴ τις πρ. ι) Sl. (ut ego L.). — ἡμᾶς A. 41. ἐφ' ἡμῖν A. — βού-ισθε Q. — ἕλεσθε vulg. ante Turr.: ἑλέσθαι A Q. — ιιήσεσθαι A (ποιήσασθαι ut Q Steph.). —

ὑμῖν, ἀλλ' οὐκ ἐν Λακεδαιμονίοις, δι' ἡμᾶς. πρεσβευτὰς οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρεσβεύων ἐστίν, ὁπότερ' ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον ποιεῖν. μέμνησθε μὲν οὖν ὦ (ἄνδρες) Ἀθηναῖοι τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ τοιαῦτα, ἐξ ὧν ὑμῖν μηδέποτε μεταμελήσει. |

4.

[ΑΝΔΟΚΙΔΟΥ] ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡ[ς] καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραν[τος] καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· το[ῦ] δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸ[ν] Ἀνδοκίδην πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελ[ο]γῆσθαι καὶ ἀνεύθυνος εἶναι. εἰρήκαμεν γὰρ πολλάκ[ις] ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθ[αι] πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλλειν. τὴν [δὲ] στάσιν οἱ μὲν φασιν ὁρικὴν εἶναι, οἱ δὲ πραγματική[ν]· ἠκριβωμένως δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψ[ις] ἐστι (παραγράφεται γάρ), ἐν δὲ τοῖς ὑστέροις πραγμα[τ]ική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆν[αι] Ἀλκιβιάδην.

Οὐκ ἐν τῷ παρόντι μόνον γιγνώσκω τῶν πολιτ[ι]κῶν πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλ[ὰ]

δι' ὑμᾶς A (δι' ἡμ. ut Q R. Bk.). — ἡμᾶς οἱμεῖς Q. — ἡμ[…] Q. — οὕτως Q. — ὁ πρεσβ. ἔσται Dobr. — δοκεῖ A. — ἡμῖν […]
Or. IV. [*ΑΝΔΟΚΙΔΟΥ*] Turr.: *ΑΝΔΟΚΙΔΟΥ*. Tit. p[…] argum. habet A, om. Q. — ὑπόθεσις τοῦ ἑξῆς A, om. Q. […] Ὑπόθ.] Ἀλκιβιάδην Q. — βουλομένου Q. — εἰρήκαμεν cum […] Bk.: εἴρηκε μὲν. — ἀνέχεσθαι Q. — ἠκριβωμένως Q: -μέ[…]

καὶ πρότερον χαλεπὸν ἡγούμην, πρὶν τῶν κοινῶν ἐπιμελεῖσθαί τινος. πολίτου δὲ ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους, καὶ μὴ καταδείσαντα τὰς ἔχθρας τὰς ἰδίας ὑπὲρ τῶν δημοσίων ἔχειν ἡσυχίαν· διὰ μὲν γὰρ τοὺς τῶν ἰδίων ἐπιμελουμένους οὐδὲν αἱ πόλεις μείζους καθίστανται, διὰ δὲ τοὺς τῶν κοινῶν μεγάλαι καὶ ἐλεύθεραι γίγνονται. ὧν εἷς ἐγὼ βουληθεὶς ἐξετάζεσθαι μεγίστοις 2
περιπίπτω κινδύνοις, προθύμων μὲν καὶ ἀγαθῶν ἀνδρῶν ὑμῶν τυγχάνων, δι' ὅπερ σῴζομαι, πλείστοις δὲ καὶ δεινοτάτοις ἐχθροῖς χρώμενος, ὑφ' ὧν διαβάλλομαι. ὁ μὲν οὖν ἀγὼν ὁ παρὼν οὐ στεφανηφόρος, ἀλλ' εἰ χρὴ μηδὲν ἀδικήσαντα τὴν πόλιν δέκα ἔτη φεύγειν· οἱ δ' ἀνταγωνιζόμενοι περὶ τῶν ἄθλων τούτων ἐσμὲν ἐγὼ καὶ Ἀλκιβιάδης καὶ Νικίας, ὧν ἀναγκαῖον ἕνα τῇ συμφορᾷ περιπεσεῖν.

Ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς 3
ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτε ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολογίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς πόλεως. εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ 4
συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων·

1. νομίζω om. Q.
2. ὧν cum Valck. et R. Bk.: ὧν τῶν ἀγαθῶν. — περιπίπτω Q: περιπέπτωκα. — δι' ὅνπερ cum Markl. mal. Bait. — καὶ ante δειν. om. pr. A.
3. ὅς] ὡς Dobr. — ἀποκτενεῖν cum Steph. R.: ἀποκτείνειν. — ἀπολ. δοθείσης Sl. (ἀπο- secundum a m. 2 ut vid. A). — διαψηφ. cum Schleiermach. Bk.: οὔτε διαψ. An ἀλλὰ μόνον διαψ.?

οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρί-
νουσιν. ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθη-
ναίοις μέτεστι. πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν
τῷ δ' ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ
ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω,
τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦ-
μαι ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ
5 θανάτῳ. ἔτι δ' εἴ τις διὰ τοῦτο μεθίσταται ὅτι
(πονηρὸς) πολίτης ἐστίν, οὗτος οὐδ' ἀπελθὼν ἐν-
θένδε παύσεται, ἀλλὰ (καὶ) ὅπου ἂν οἰκῇ, ταύτην
τὴν πόλιν διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπι-
βουλεύσει, ἀλλὰ καὶ μᾶλλον (καὶ) δικαιότερον ἢ
πρὶν ἐκβληθῆναι. οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν
ἐν ταύτῃ μάλιστα τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς
ἐχθροὺς ἥδεσθαι, συνειδότας ὡς ἂν ἀγνοήσαντες
ἐξελάσητε τὸν βέλτιστον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν
6 ἀγαθὸν ὑπὸ τούτου τοῦ ἀνδρὸς πείσεται. ῥᾴδιον
δὲ καὶ ἐντεῦθεν γνῶναι τὸν νόμον πονηρὸν ὄντα·
μόνοι γὰρ αὐτῷ τῶν Ἑλλήνων χρώμεθα, καὶ οὐδε-
μία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι. καίτοι
ταῦτα διέγνωσται ἄριστα τῶν δογμάτων, ἃ καὶ τοῖς
πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγ-
χάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει.
7 Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ μακρό-

4. μοι om. Q. — ζημίαν ἡγοῦμαι Q.

5. (πονηρὸς) πολίτης (s. πονηρὸς) ci. Emp. (κακὸς πολίτης ci. R.). — ἐνθάδε A pr. et Q. — addidi (καὶ) (τε addebam post ταύτην ed. 2; sed opponit Fuhr., nusquam in hac or. τε . . . καὶ exstare). — διαφθείρῃ A; διαφθείρει Q (corr. Ald.). — (καὶ) δικ. ci. R. — ὑμῶν Steph.: ἡμῶν. — συνειδότας] α a m. 2 A. — ὑπὸ τούτου Bk.: ἀπὸ τούτου.

τερα λέγειν· πάντως γὰρ οὐδὲν ἂν πλέον εἰς τὸ
παρὸν ποιήσαιμεν· δέομαι δ' ὑμῶν τῶν λόγων ἴσους
καὶ κοινοὺς ἡμῖν ἐπιστάτας γενέσθαι, καὶ πάντας
ἄρχοντας περὶ τούτων καταστῆναι, καὶ μήτε τοῖς
λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν | χαριζομέ-
νοις ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν ἐθέλοντι λέγειν καὶ
ἀκούειν εὐμενεῖς εἶναι, τῷ δ' ἀσελγαίνοντι καὶ
θορυβοῦντι χαλεπούς. ἀκούσαντες γὰρ ἑκάστου τῶν
ὑπαρχόντων ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιω- 8
τείας βραχύς μοι λόγος καταλελειμμένος. εἰ μὲν
γὰρ ἄκριτος ἦν, εἰκότως ἂν (καὶ) τῶν κατηγορούν-
των ἠκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον ἦν ἀπολογεῖσθαι
περὶ αὐτῶν· ἐπειδὴ δὲ τετράκις ἀγωνιζόμενος ἀπέ-
φυγον, οὐκέτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ
τούτων γενέσθαι. πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴ-
διον [ἦν] εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσιν
οὔτ' εἰ ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος
τέλος ἔχει καὶ διώρισται τούτων ὁπότερόν ἐστιν.
ὥστε δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ 9
μόνον ἀποθνήσκειν, καὶ τὰ χρήματα δημεύειν (ὑμᾶς)
αὐτῶν, τῶν δὲ νικησάντων πάλιν τὰς αὐτὰς κατη-

7. γὰρ οὐδὲν ci. R.: οὐδὲν γάρ. — πλέον L.: πλεῖον. — καὶ μήτι τοῖς Q. — ἐθέλοντι Q L.: θέλ. — περὶ ἑκάστου ci. R. — βουλεύσασθαι Q.

8. στασιωτίας A, ἀσωτίας Q (corr. Ald.). — λόγος .... καταλελ. pr. A. — ἂν om. Q. — περὶ αὐτῶν Q: π. τούτων; mox π. τούτων Q corr. (ων super ου): π. τούτου. — γενέσθαι Q: γίγνεσθαι. — ψευδὴς οὔτ' εἰ ἀληθής εἰσιν Q. — ἀποφεύγοντος A Q (corr. Ald.).

9. ὥστε Steph.: ὡς. — ὑμᾶς addidi cum R., qui etiam δημεύεσθαι ci. cum mg. ald. Taylori (δημόσι' εἶναι Cob.). Contra ἀποκτείνειν pro ἀποθνήσκειν ci. Gebauer. — τοὺς δὲ νικήσαντας cum Muret. R. (qui etiam τὸν δὲ νικήσαντα) Turr. cf. 1, 104. —

γορίας ὑπομένειν, καὶ τοὺς δικαστὰς ἀπολέσαι μὲν κυρίους εἶναι, σῶσαι δ' ἀκύρους καὶ ἀτελεῖς φαίνεσθαι, ἄλλως τε καὶ τῶν νόμων ἀπαγορευόντων δὶς περὶ τῶν αὐτῶν πρὸς τὸν αὐτὸν μὴ ἐξεῖναι δικάζεσθαι, καὶ ὑμῶν ὀμωμοκότων χρῆσθαι τοῖς νόμοις.

10 Ὧν ἕνεκα περὶ ἐμαυτοῦ παραλιπὼν Ἀλκιβιάδου τὸν βίον ἀναμνῆσαι βούλομαι. καίτοι ἀπορῶ γε διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων πόθεν ἄρξομαι, ἐμποδὼν ἁπάντων ὄντων. περὶ μὲν οὖν μοιχείας καὶ γυναικῶν ἀλλοτρίων ἁρπαγῆς καὶ τῆς ἄλλης βιαιότητος καὶ παρανομίας καθ' ἕκαστον εἰ δεήσειε λέγειν, οὐκ ἂν ἐξαρκέσειεν ὁ παρὼν χρόνος, ἅμα δὲ πολλοῖς ἀπεχθοίμην τῶν πολιτῶν, φανερὰς τὰς συμφορὰς ποιῶν αὐτῶν. ἃ δὲ περὶ τὴν πόλιν εἴργασται καὶ τοὺς προσήκοντας καὶ τῶν ἄλλων ἀστῶν καὶ ξένων τοὺς ἐντυγχάνοντας, ἀποδείξω.

11 Πρῶτον μὲν οὖν πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον, αἱρεθεὶς ἐπὶ τούτῳ δέκατος αὐτὸς μάλιστα διπλάσιον αὐτὸν ἑκάστοις τῶν συμμάχων ἐποίησεν, ἐπιδείξας δ' αὐτὸν φοβερὸν καὶ μέγα δυνάμενον ἰδίας ἀπὸ τῶν κοινῶν προσόδους κατεσκευάσατο. σκέψασθε δὲ πῶς ἂν τις κακὰ μείζω τούτων κατασκευάσειεν, εἰ τῆς σωτηρίας

τῶν αὐτῶν Q: τοῦ αὐτοῦ. — μὴ . . . ἐξεῖναι A. — ἡμῶν Q. — χρήσεσθαι Hi. Ros.

10. mal. ἄρξωμαι, coll. Hyp. VI, § 6 (recep. L.). — ἐμποδὼν] cf. Harp. s. v. (Ἀ. ἐν τῷ κατ' Ἀλκιβ.). — δεήσειε mal. Bait.: δεήσει. — πολλῆς Q.

11. ἡμᾶς Q. — τὸν ὑπ'] τῶν ὑπ' A. — ἐπὶ τούτων ut videtur A pr. (ἐπὶ τοῦτο ci. R.). — αὐτὸν] superscr. ων in Q. — ἑκάστοις τῶν σ. scripsi: ἑκάστῳ τ. σ. cf. extr. §. — προσόδους] δους a m. 2 A; προδοὺς Q. — τούτων om. Q. — παρασκευάσειεν pr. A, quod praefert Fuhr. — (ἢ) εἰ Hi. L. — ἑκάστοις Turr.: ἑκάστης. —

